στόμιον καὶ τὴν ἐν τῷ ποταμῷ γέφυραν, ἐν ᾗ καὶ τέμενος
mouth and the in the river bridge on which also a-church
πάλαι παρὰ τῆς ἁγίας ᾠκοδόμητο Ἑλένης ἐπ᾽ ὀνόματι
long-ago by the holy had-been-built Helena in name
τοῦ μεγάλου Κωνσταντίνου, ἐξ ὧν τὴν ἐπωνυμίαν ἡ
of-the great Constantine from whom the name the
γέφυρα μέχρι καὶ νῦν ἐκτήσατο. τῷ γοῦν ἤδη ῥηθέντι
bridge until even now acquired at-the at-any-rate already mentioned
στομίῳ καὶ αὐτῇ δὴ τῇ γεφύρᾳ ἄνδρας πολεμικωτάτους
mouth and itself indeed the bridge men most-warlike
ἐπιστήσας ἐφ᾽ ἑκάτερα παρήγγειλε τὴν τῶν πλοίων δίοδον
having-set on both-sides he-ordered the of-the boats passage
ἐνεδρεύειν. ὡς δὲ ἅπαντες ἐν τοῖς ἤδη ῥηθεῖσιν ἀγραρίοις
to-ambush as and all in the already mentioned boats
εἰσελθόντες διὰ τοῦ στομίου τῆς λίμνης ταῖς πάγαις
having-entered through the mouth of-the lake into-the snares

τοῦ Ἐλχάνη ἐμπεπτώκασι, θεασάμενοι τὸ καταλαβὸν
— of-Elchanes fell having-beheld the having-seized
αὐτοὺς δεινὸν καὶ μὴ ἔχοντες ὅ τι καὶ δράσαιεν τῇ
them terror and not having what — also they-might-do on-the
χέρσῳ τὰς νῆας ἐφορμίσαντες κἀκεῖθεν ἁλλόμενοι περὶ
dry-land the ships having-moored and-from-there leaping about
τὴν ἤπειρον ἐξεληλύθεσαν. καταλαβόντων δὲ αὐτοὺς τῶν
the mainland had-gone-out having-overtaken and them the
Τούρκων μέγας ἀναρρήγνυται πόλεμος. καὶ πολλοὶ μὲν
Turks great breaks-out war and many indeed
τῶν λογάδων ἁλίσκονται, πολλοὶ δὲ καὶ ταῖς δίναις τοῦ
of-the picked-men are-captured many and also into-the eddies of-the
ποταμοῦ ἐμπεπτωκότες παρεσύρησαν. ταῦτα ὁ βασιλεὺς
river having-fallen were-swept-away these(-things) the emperor
μεμαθηκὼς καὶ μὴ φέρων τὴν ἧτταν ἀξιόμαχον δύναμιν
having-learned and not bearing the defeat a-match-for-battle force
μετὰ τοῦ Ὤπου διὰ τῆς ἠπείρου κατ᾽ αὐτῶν ἐξέπεμψεν.
with — Opos by the mainland against them sent-out
ὃς καὶ τὴν Κύζικον καταλαβὼν ἐξ ἐπιδρομῆς ταύτην
who also — Kyzikos having-reached by raid it
κατέσχε. διελὼν δὲ καὶ τῶν ἰδίων ταγμάτων ἄνδρας
held having-selected and also from-the own units men
τειχεσιπλήτας καὶ φιλοκινδύνους ὡσεὶ τριακοσίους κατὰ τοῦ
wall-stormers and danger-loving about three-hundred against —
Ποιμανηνοῦ ἐξαπέστειλεν. οἳ καὶ ἐξ ἐφόδου τοῦτο κατέσχον
Poimanenon sent-off who also by assault it held
καὶ τοὺς μὲν τῶν ἐντὸς αὐτοῦ που κτείνουσι, τοὺς δὲ
and some indeed of-those inside there somewhere they-kill others and
καὶ ζωγρίαν πρὸς τὸν Ὤπον πεπόμφασιν. ὁ δὲ θᾶττον
also alive to — Opos sent he and more-quickly
τούτους πρὸς τὸν βασιλέα ἐκπέπομφεν· αὐτὸς δὲ ἐκεῖθεν
them to the emperor sent-out he and from-there

ἀπάρας τὴν Ἀπολλωνιάδα καταλαμβάνει, καὶ πολιορκῶν
having-set-out — Apollonias reaches and besieging
ταύτην οὐκ ἐνεδίδου. ὁ δὲ Ἐλχάνης ἀποχρῶσαν ἀπάρτι
it not he-ceased — and Elchanes sufficient by-now
πρὸς αὐτὸν μὴ ἔχων δύναμιν τὴν μὲν πόλιν ἐθελοντὴς
against him not having force the indeed city voluntarily
παραδίδωσιν, αὐτὸς δὲ μετὰ τῶν καθ' αἷμα προσηκόντων
hands-over he and with those by blood related
αὐτομολεῖ πρὸς τὸν βασιλέα καὶ μυρίων μὲν ἐπαπολαύει
deserts to the emperor and countless indeed enjoys
δωρεῶν, τυγχάνει δὲ καὶ τοῦ μεγίστου, τοῦ ἁγίου φημὶ
gifts obtains and also the greatest the holy I-mean
φωτίσματος. ὁπόσοι δὲ συνέψεσθαι τῷ Ὤπῳ οὐκ ἤθελον,
illumination as-many-as and to-follow — Opos not wished
ὅ τε Σκαλιάριος καὶ ὁ ἐν ὑστέροις ὑπερπερίλαμπρος
— both Skaliarios and the(-one) in later-times as-hyperperilampros
τιμηθεὶς ∗∗∗ (ἀρχισατράπαι δὲ καὶ οὗτοι τῶν ἐπιφανῶν)
honored (lacuna) chief-satraps and also these of-the illustrious
μεμαθηκότες τὰς εἰς τὸν Ἐλχάνην φιλοφροσύνας καὶ
having-learned the to — Elchanes kindnesses and
δαψιλεῖς δωρεὰς τοῦ αὐτοκράτορος προσεληλυθότες καὶ
abundant gifts of-the autocrat having-come also
αὐτοὶ τῶν ἱμειρομένων ἐπιτυγχάνουσιν. ἦν γὰρ ὁ
themselves the(-things) longed-for obtain was for the
βασιλεὺς οὗτος ἄντικρυς ἱερατικώτατος καὶ τὴν ἀρετὴν
emperor this outright most-priestly both in-the virtue
καὶ τὸν λόγον, ὡς εἰπεῖν, εὐσεβείας ἁπάσης ἀρχιερεύς.
and the word as to-say of-piety all high-priest
διδασκαλικώτατός τε γὰρ ἦν τοῦ ἡμετέρου δόγματος
most-able-to-teach both for he-was of-the our doctrine
καὶ ἀποστολικὸς τὴν προαίρεσιν καὶ τὸν λόγον καὶ
and apostolic in-the purpose and the word and

εἴσω τῆς ἡμετέρας πίστεως ποιῆσαι βουλόμενος οὐ μόνον
inside the our faith to-bring wishing not only
τοὺς νομάδας τουτουσὶ Σκύθας, ἀλλὰ καὶ τὴν Περσίδα
the nomads these-here Scythians but also — Persia
πᾶσαν καὶ ὁπόσοι τὴν Αἴγυπτον καὶ τὴν Λιβύην νέμονται
all and as-many-as — Egypt and — Libya inhabit
βάρβαροι καὶ ταῖς τοῦ Μωάμεθ τελεταῖς ὀργιάζουσιν.
barbarians and with-the — of-Muhammad rites perform-rites

XXIII · THE SCYTHIANS CROSS

The Scythians, driven out by the Sauromatai, cross the Danube and make treaties with the chiefs of Dristra and Bitzina. Traulos calls them in, and they plunder the land. Pakourianos and Branas meet them near Beliatoba, but Branas forces battle. He is killed, and Pakourianos dies when he strikes an oak. Tatikios defeats a foraging party near Philippopolis; after a two-day standoff the Scythians withdraw and escape his pursuit through the Sidera pass.

Ἀλλὰ περὶ μὲν τούτων ἅλις· βουλομένη δὲ δεινοτέραν καὶ
but about indeed these-things enough wishing and more-terrible and
μείζονα τῆς προλαβούσης κατὰ τῆς τῶν Ῥωμαίων ἀρχῆς
greater than-the preceding against the of-the Romans rule
ἔφοδον διηγήσασθαι εἰς ἀρχὴν αὖθις καθιστῶ τὸν λόγον·
attack to-narrate to beginning again I-set the account
ἄλλα γὰρ ἐπ' ἄλλοις διεκυμάνθησαν. γένος τι Σκυθικὸν
other for upon others surged race a-certain Scythian
παρὰ τῶν Σαυροματῶν καθ' ἑκάστην σκυλευόμενοι
by the Sauromatai by each(-day) being-despoiled
ἀπάραντες τῶν οἴκοι κατῆλθον πρὸς τὸν Δάνουβιν.
having-set-out from-the at-home came-down to the Danube
ὡς δὲ πρὸς ἀνάγκης ἦν αὐτοῖς μετὰ τῶν κατὰ τὸν
as and of necessity it-was for-them with those along the

Δάνουβιν οἰκούντων σπείσασθαι, τούτου συνδόξαντος πᾶσιν
Danube dwelling to-make-a-treaty this having-been-agreed by-all
εἰς ὁμιλίαν ἦλθον μετὰ τῶν ἐκκρίτων, τοῦ τε Τατοῦ τοῦ
to conference they-came with the picked-men — both of-Tatos the
καὶ Χαλῆ ὀνομαζομένου καὶ τοῦ Σεσθλάβου καὶ τοῦ Σατζᾶ
also Chales named and — of-Sesthlavos and — of-Satzas
(χρὴ γὰρ καὶ τῆς ἐπωνυμίας μεμνῆσθαι τῶν κατ' αὐτοὺς
it-is-needful for also the name to-mention of-the among them
ἀρίστων ἀνδρῶν, εἰ καὶ τὸ σῶμα τῆς ἱστορίας τούτοις
best men if even the body of-the history by-these
καταμιαίνεται), τοῦ μὲν τὴν Δρίστραν κατέχοντος,
is-defiled of-the(-one) indeed — Dristra holding
τῶν δὲ τὴν Βιτζίναν καὶ τἆλλα. σπεισάμενοι γοῦν
of-those and — Bitzina and the-rest having-made-a-treaty at-any-rate
μετ' αὐτῶν ἀδεῶς τοῦ λοιποῦ διαπερῶντες τὸν Δάνουβιν
with them fearlessly for-the rest crossing the Danube
ἐλῄζοντο τὴν παρακειμένην χώραν, ὡς καὶ πολίχνιά τινα
plundered the neighboring land so-that also little-towns some
κατασχεῖν. κἀντεῦθεν ἐκεχειρίαν τινὰ σχόντες ἀροτριῶντες
to-seize and-thence respite some having-had plowing
ἔσπειρον κέγχρους τε καὶ πυρούς. ὁ δὲ Τραυλὸς ἐκεῖνος
they-sowed millet both and wheat — and Traulos that
Μανιχαῖος μετὰ τῶν συνεφεπομένων αὐτῷ καὶ οἱ τὸ κατὰ
Manichaean with those following him and those the on
τὴν ἀκρολοφίαν τῆς Βελιατόβης πολίχνιον κατασχόντες
the hill-top — of-Beliatoba little-town having-held
ὁμόφρονες, περὶ ὧν ὁ λόγος φθάσας πλατύτερον
like-minded about whom the account having-been-first more-broadly
ἐδίδαξε, τὰ κατὰ τοὺς Σκύθας μεμαθηκότες ὃ
taught the(-things) concerning the Scythians having-learned what
πάλαι ὤδινον εἰς φῶς ἐξήγαγον καὶ κατασχόντες
long-ago they-travailed-with into light brought-out and having-held

τὰς τραχείας ὁδοὺς καὶ στενωποὺς μετεκαλοῦντο τοὺς
the rough roads and defiles summoned the
Σκύθας. κἀντεῦθεν τὴν ἅπασαν Ῥωμαίων ἐλῄζοντο χώραν.
Scythians and-thence the whole of-Romans plundered land
γένος γὰρ οἱ Μανιχαῖοι φύσει μαχιμώτατον καὶ αἵμασιν
race for the Manichaeans by-nature most-warlike and with-the-blood
ἀνθρώπων λαφύσσειν καθαπερεὶ κύνες ἀεὶ ἱμειρόμενον.
of-men to-gulp like dogs always longing
ταῦτα ὁ βασιλεὺς Ἀλέξιος μεμαθηκὼς παρακελεύεται
these(-things) the emperor Alexios having-learned orders
τῷ δομεστίκῳ τῆς ἑσπέρας Πακουριανῷ γινώσκων αὐτὸν
the domestic of-the west Pakourianos knowing him
ἱκανώτατον οἰκονομῆσαι στράτευμα καὶ κατὰ φάλαγγα
most-able to-arrange an-army and in phalanx
στῆσαι καὶ παράταξιν διαμηχανήσασθαι ποικιλώτατον σὺν
to-set and a-battle-line to-contrive most-variedly with
αὐτῷ τῷ Βρανᾷ (ἀνὴρ δὲ καὶ οὗτος μαχιμώτατος) τὰς
himself — Branas a-man and also this-one most-warlike the
δυνάμεις ἀναλαβόμενον κατ᾽ αὐτῶν ἀπελθεῖν. καταλαβὼν
forces having-taken-up against them to-go having-reached
δὲ τοὺς Σκύθας διελθόντας τοὺς στενωποὺς καὶ
and the Scythians having-passed-through the defiles and
τῆς Βελιατόβης ἔνθεν τὸν χάρακα πηξαμένους, πλῆθος
— from-Beliatoba thence the palisade having-pitched a-multitude
ἀναρίθμητον τούτους θεασάμενος, πρὸς τὸν μετ᾽ αὐτῶν
innumerable them having-beheld at the with them
εὐθὺς ἀπενάρκησε πόλεμον βέλτιον νομίζων τὰς ἰδίας
at-once shrank-from war better thinking the own
τὸ παρὸν ἀμαχητὶ διασῶσαι δυνάμεις ἢ τὸν μετὰ
for-the present without-battle to-preserve forces than the with
τῶν Σκυθῶν ἀναδησάμενον πόλεμον καὶ ἡττηθέντα
the Scythians having-taken-up war and having-been-defeated

πολλοὺς ἀπολωλεκέναι. ἀλλὰ τῷ Βρανᾷ φιλοκινδυνοτάτῳ
many to-have-lost but — to-Branas most-fond-of-danger
τε καὶ θρασεῖ ὄντι ταῦτα οὐκ ἤρεσκεν. ὁ δέ γε
both and bold being these(-things) not pleased the and at-least
δομέστικος, ἵνα μὴ δειλίας ὑποψία τις κατ' αὐτοῦ
domestic that not of-cowardice suspicion some against him
ἀναβαλλομένου τὸν πόλεμον δοθῇ, ἐνεδίδου ταῖς ὁρμαῖς
putting-off the war might-be-given yielded to-the impulses
τοῦ Βρανᾶ καὶ θωρήξασθαί τε ἅπασι κελεύσας καὶ
— of-Branas and to-arm both all having-ordered and
πολέμου σχῆμα διατυπώσας κατὰ τῶν Σκυθῶν ἐχώρησε
of-war form having-drawn against the Scythians advanced
τὸ μεσαίτατον αὐτὸς διέπων τῆς φάλαγγος. ἐπεὶ δὲ
the very-center he managing of-the phalanx since and
οὐδὲ τὸ πολλοστὸν τοῦ πλήθους τῶν ἀντιτεταγμένων τὸ
not-even the smallest-fraction of-the multitude of-those arrayed-against the
Ῥωμαϊκὸν ἔσωζε στράτευμα, ἐκ μόνης ὄψεως περιδεεῖς
Roman kept army from only sight very-afraid
ἐγεγόνεισαν ἅπαντες. προσβαλόντες δ' ὅμως τοῖς
had-become all having-attacked and nevertheless the
Σκύθαις ἀναιροῦνται μὲν πολλοὶ ἐν τῷ μάχεσθαι, πίπτει
Scythians are-killed indeed many in the fighting falls
δὲ καιρίαν πληγεὶς ὁ Βρανᾶς. ὁ δέ γε δομέστικος
and mortally struck — Branas — and at-least domestic
ἐκθύμως μαχόμενος καὶ σφοδρὰς τὰς κατὰ τῶν ἐναντίων
passionately fighting and violent the against the opponents
ἱππασίας ποιούμενος φηγῷ προσκεκρουκὼς ἀφῄρηται
charges making on-an-oak having-struck is-deprived
παραχρῆμα τὴν ψυχήν. τὸ δὲ ἐπίλοιπον τοῦ στρατοῦ
immediately of-the soul the and rest of-the army
ἄλλος ἀλλαχοῦ διεσπάρησαν. ταῦτ' οὖν μεμαθηκὼς ὁ
one elsewhere were-scattered these(-things) then having-learned the

αὐτοκράτωρ ἐπένθει μὲν τοὺς πεπτωκότας ἅπαντας ἰδίᾳ
autocrat mourned indeed the fallen all privately
καὶ καθ' ἕκαστον καὶ ὁμοῦ· ἐπὶ δὲ τῷ τοῦ δομεστίκου
and by each-one and together for and the of-the domestic
θανάτῳ μᾶλλον στενάζων κρουνοὺς ἠφίει δακρύων. ἐφίλει
death rather groaning streams he-let-go of-tears he-loved
γὰρ ἐξόχως τὸν ἄνδρα καὶ πρὸ τῆς ἀναρρήσεως. οὐ
for exceedingly the man even before the proclamation not
μέντοι διὰ ταῦτα ἀναπέπτωκεν, ἀλλὰ μεταπεμψάμενος
however because-of these(-things) he-lost-heart but having-summoned
τὸν Τατίκιον μετὰ χρημάτων ἱκανῶν ἐκπέμπει πρὸς
— Tatikios with money considerable sends to
Ἀδριανούπολιν, ἐφ' ᾧ τοῖς μὲν στρατιώταις τοὺς
Adrianople for which to-the indeed soldiers the
ἐπετείους διδόναι μισθούς, συλλέγειν δὲ καὶ ἀπανταχόθεν
yearly to-give pay to-collect and also from-everywhere
δυνάμεις, ἵνα στράτευμα ἀξιόμαχον αὖθις συστήσηται.
forces that an-army a-match-for-battle again he-might-form
τὸν δὲ Οὐμπερτόπουλον εἰς Κύζικον φρουρὰν ἀξιόμαχον
— and Houmbertopoulos to Kyzikos garrison a-match-for-battle
καταλιπόντα μετὰ μόνων τῶν Κελτῶν εἰς τὸν Τατίκιον
having-left with only the Celts to — Tatikios
γοργῶς ἐφθακέναι παρεκελεύσατο. οὗτος δὲ τοὺς Λατίνους
swiftly to-have-arrived he-ordered this-man and the Latins
καὶ τὸν Οὐμπερτόπουλον θεασάμενος καὶ τεθαρρηκώς, ἐπεὶ
and — Houmbertopoulos having-beheld and having-taken-courage since
καὶ ἱκανὸν προεφθάκει συλλέξασθαι στράτευμα, κατευθὺ
also considerable he-had-been-first to-collect army straight-for
Σκυθῶν ἐχώρει παραχρῆμα. καταλαβὼν δὲ τὰ περὶ
Scythians advanced immediately having-reached and the(-parts) about
τὴν Φιλιππούπολιν παρὰ τῷ χείλει τοῦ κατὰ τὸν Βλίσνον
— Philippopolis by the lip of-the along — Blisnos

ῥέοντος ποταμοῦ χάρακα πήγνυται. ἐπὰν δὲ τοὺς Σκύθας
flowing river palisade pitches when and the Scythians
ἐκ προνομῆς ἐπανερχομένους ἐθεάσατο λείαν πολλὴν καὶ
from foraging returning he-saw booty much and
δορυαλώτους συνεπαγομένους, μήπω σχεδὸν τὰς σκευὰς
spear-captives bringing-along not-yet nearly the baggage
εἴσω τοῦ χάρακος καταθέμενος ἱκανοὺς ἀποτεμόμενος
inside the palisade having-laid-up considerable having-cut-off
κατ᾽ αὐτῶν ἐκπέμπει αὐτός τε ὁπλισάμενος καὶ πάντας
against them sends-out he both having-armed and all
θωρήξασθαι κελεύσας τὰς φάλαγγας καταστησάμενος
to-arm having-ordered the phalanxes having-set
τοῖς προπεμφθεῖσι παρείπετο στρατιώταις. θεασάμενος δὲ
the sent-ahead followed soldiers having-beheld and
τοὺς Σκύθας μετὰ τῶν λαφύρων καὶ τῶν δορυαλώτων
the Scythians with the spoils and the spear-captives
τῷ ἐπιλοίπῳ στρατεύματι τῶν Σκυθῶν ἑνωθέντας κατὰ
with-the remaining army of-the Scythians united at
τὸν †πυρὸν ὄχθον, διχῇ τὸ στράτευμα διελὼν καὶ τὸ
the Pyros hill in-two the army having-divided and the
ἐνυάλιον ἑκατέρωθεν ἠχῆσαι κελεύσας σὺν ἀλαλαγμῷ καὶ
war-cry from-both-sides to-sound having-ordered with shouting and
βοῇ πολλῇ προσβάλλει τοῖς βαρβάροις. καὶ καρτερᾶς τῆς
cry much attacks the barbarians and strong the
μάχης γενομένης πίπτουσι τῶν Σκυθῶν οἱ πλείονες, πολλοὶ
battle having-become fall of-the Scythians the most many
δὲ καὶ διασπαρέντες ἐσώθησαν. ὁ δὲ τὴν λείαν πᾶσαν
and also having-scattered were-saved he and the booty all
ἀναλαβόμενος νικητὴς τὴν Φιλιππούπολιν καταλαμβάνει.
having-taken-up victor — Philippopolis reaches
κεῖθι δὲ τὸ ὁπλιτικὸν ἅπαν καταθέμενος ἐσκόπει, ὅθεν
there and the heavy-armed-force all having-laid-up he-considered whence

χρὴ καὶ ὅπως τοῖς βαρβάροις αὖθις προσβαλεῖν.
it-is-needful and how the barbarians again to-attack
ἀπειροπληθεῖς δὲ τὰς αὐτῶν γινώσκων δυνάμεις σκοποὺς
infinitely-numerous and the their knowing forces scouts
ἁπανταχόσε ἐξέπεμψεν, ἵν' ἐκεῖθεν ἔχοι τὰ
everywhere he-sent-out that from-there he-might-be-able the(-things)
κατὰ τοὺς Σκύθας συχνάκις μανθάνειν. ἐπαναδεδραμηκότες
concerning the Scythians frequently to-learn having-run-back
δὲ οἱ σκοποὶ πλῆθος βαρβάρων ἔλεγον πολὺ περὶ τὴν
and the scouts a-multitude of-barbarians said great about —
Βελιάτοβαν ἐνδιατρίβειν καὶ τὰ πέριξ λῄζεσθαι. καὶ
Beliatoba to-be-spending-time and the(-places) around to-plunder and
ὁ Ταtίκιος προσδόκιμον τὴν τῶν Σκυθῶν ἔλευσιν ἔχων
— Tatikios expected the of-the Scythians coming having
καὶ πρὸς τοσούτους μὴ ἀποχρώσας ἔχων δυνάμεις τὸ
and against so-many not sufficient having forces the
παράπαν ἀλύων τοῖς λογισμοῖς ἐν ἀμηχανίᾳ καθειστήκει.
at-all distraught in-the reasonings in helplessness was-set
ἀλλ' ὅμως καὶ τὸ σιδήριον ἔθηγε καὶ πρὸς μάχας
but nevertheless both the iron he-whetted and for battles
ἐθάρρυνε τὸ στράτευμα. καταλαβὼν δέ τις τὴν τῶν
encouraged the army having-arrived and someone the of-the
βαρβάρων κατ' αὐτοῦ ἔλευσιν διεμήνυε καὶ φθάνειν
barbarians against him coming reported and to-be-arriving
ἤδη διισχυρίζετο. ὁ δὲ εὐθὺς ἐν τοῖς ὅπλοις ἦν καὶ
already insisted he and at-once in the arms was and
ἅπαν τὸ στράτευμα ἐξοπλίσας τὸν Εὖρον παραχρῆμα
all the army having-armed the Hebros immediately
διαπεράσας τὰς φάλαγγας ἰλαδὸν καταστήσας εἱστήκει
having-crossed the phalanxes by-squadrons having-set stood
πολέμου σχῆμα διατυπώσας· αὐτὸς δὲ τὸ μέσον εἶχε τῆς
of-war form having-drawn he and the middle held of-the

παρατάξεως. καὶ οἱ βάρβαροι Σκυθικῶς παραταξάμενοι
battle-line and the barbarians Scythian-fashion having-arrayed-themselves
καὶ τὰς αὐτῶν δυνάμεις πρὸς μάχην καταστησάμενοι
and the their forces for battle having-set
ἐῴκεσαν μὲν πόλεμον ἀναζητεῖν καὶ τοὺς ἀντιπάλους
seemed indeed war to-seek and the adversaries
ἐρεθίζειν οἷον πρὸς μάχην· ἐδεδίεσαν δὲ ὅμως καὶ
to-provoke as-it-were to battle they-feared but nevertheless and
ἄμφω τὰ στρατεύματα καὶ τὴν συμπλοκὴν ἀνεβάλλοντο, τὸ
both the armies and the engagement put-off the
μὲν Ῥωμαϊκὸν τὸ ὑπερπληθὲς τῶν Σκυθῶν ὑποπτῆσσον,
indeed Roman the superabundance of-the Scythians cowering-before
τὸ δὲ Σκυθικὸν τεθωρακισμένους ἅπαντας ὁρῶν τάς
the and Scythian armored all seeing the
τε σημαίας καὶ τὸ λαμπρὸν τῶν ἀμφίων καὶ τὴν
both standards and the brilliance of-the garments and the
ἐκεῖθεν ἀποπαλλομένην αἴγλην πρὸς τὴν ἀστρῴαν βολὴν
from-there shaken-off gleam against the starry beam
ἀντιστίλβουσαν. μόνοι δὲ ἁπάντων οἱ τολμητίαι Λατῖνοι
flashing-back alone and of-all the daring Latins
καὶ θρασεῖς τὴν μάχην προαρπάζειν ἤθελον θήγοντες
and bold the battle to-snatch-first wished whetting
ὀδόντας ὁμοῦ καὶ σιδήρια. ἀνέστελλε δ' αὐτοὺς ὁ Τατίκιος·
teeth together and irons held-back and them — Tatikios
ἀνὴρ γὰρ οὗτος εὐσταθὴς καὶ τοῦ μέλλοντος ῥᾷστα
a-man for this-one steady and the future most-easily
καταστοχάσασθαι δυνατός. ἱσταμένων οὖν ἀμφοτέρων τῶν
to-guess able standing then both the
στρατευμάτων καὶ οἷον ἑτέρου τὴν ἐξ ἑτέρου κίνησιν
armies and as-it-were the-one the from the-other movement
ἀπεκδεχομένου καὶ μηδ' οὑτινοσοῦν τῶν στρατιωτῶν
awaiting and not-even any-whatever of-the soldiers

κατὰ τὸ μεσαίχμιον ἐξ οὐδετέρου τῶν στρατευμάτων
in the no-man's-land from neither of-the armies
ἱππάσασθαι κατατολμῶντος, ἐπεὶ ἐν δυσμαῖς ἤδη ὁ ἥλιος
to-ride daring since at setting already the sun
ἦν, ἕκαστος τῶν στρατηγῶν ἐπὶ τὴν ἰδίαν παρεμβολὴν
was each of-the generals to the own camp
ἐπάνεισι. τούτου ἐπὶ δυσὶν ἡμέραις γεγονότος καὶ πρὸς
returns this for two days having-happened and for
μάχην εὐτρεπιζομένων τῶν δημαγωγῶν καὶ πολέμου
battle getting-ready the leaders and of-war
σχῆμα καθ' ἑκάστην διατυπούντων, ἐπεὶ μηδεὶς τὴν πρὸς
form by each(-day) drawing since no-one the against
ἕτερον ἀπεθάρρησε μάχην, κατὰ τὸ τῆς τρίτης περίορθρον
other dared battle at the of-the third early-dawn
ἀναχωροῦσιν οἱ Σκύθαι. αἰσθόμενος δὲ ὁ Τατίκιος τούτου
withdraw the Scythians having-perceived and — Tatikios this
παραχρῆμα κατόπιν αὐτῶν ἤλαυνεν· ἀλλὰ πεζός φασι
immediately behind them drove but a-footman they-say
παρὰ Λύδιον ἅρμα. προφθάσαντες γὰρ οἱ Σκύθαι διῆλθον
beside a-Lydian chariot having-been-first for the Scythians passed-through
τὴν Σιδηρᾶν· τέμπη δ' οὕτως εἰσὶ κατονομαζόμενα·
— Sidera valleys and thus are named
κἀκεῖσε δὲ τούτους μὴ καταλαβὼν ἀναλαβόμενος τὰς ὅλας
and-there and them not having-overtaken having-taken-up the whole
δυνάμεις πρὸς Ἀδριανούπολιν ἐπαναζεύγνυσι. καὶ τοὺς μὲν
forces to Adrianople returns and the indeed
Κελτοὺς αὐτοῦ που καταλιπών, τῶν δὲ στρατιωτῶν
Celts there somewhere having-left of-the and soldiers
οἴκοι πορευθῆναι ἕκαστον κελεύσας μετά τινος μερίδος
home to-go each having-ordered with some portion
τῆς στρατιᾶς αὐτὸς ἐπαναζεύγνυσι πρὸς τὴν βασιλεύουσαν.
of-the army he returns to the reigning(-city)

BOOK VII

XXIV · VICTORY AT KOULES

In spring Tzelgou comes through the passes above the Danube with eighty thousand Sauromatai, Scythians, and Dacians, and plunders around Charioupolis. Nicholas Maurokatakalon and Bempetziotes fall back to the little town of Koules, and the Scythians follow. Maurokatakalon attacks in three divisions. Tzelgou is killed, and many Scythians drown in the stream between Skoteinos and Koules. The victors are rewarded in the city and return under Adrian Komnenos, the new grand domestic of the west.

Ἔαρος δὲ ἐπιφανέντος διελθὼν ὁ Τζελγοὺ τὰ
spring and having-appeared having-passed-through — Tzelgou the
ὑπερκείμενα τοῦ Δανούβεως τέμπη (ἡγεμὼν δὲ οὗτος
overlying of-the Danube valleys leader and this-one
ὑπερέχων τοῦ Σκυθικοῦ στρατεύματος) σύμμικτον
surpassing of-the Scythian army mixed
ἐπαγόμενος στράτευμα ὡσεὶ χιλιάδας ὀγδοήκοντα ἔκ
bringing army about thousands eighty from
τε Σαυροματῶν καὶ Σκυθῶν καὶ ἀπὸ τοῦ Δακικοῦ
both Sauromatai and Scythians and from the Dacian
στρατεύματος οὐκ ὀλίγους, ὧν ὁ οὕτω καλούμενος
army not few of-whom the so called
Σολομὼν δημαγωγὸς ἦν, τὰς κατὰ τὴν Χαριούπολιν
Solomon leader was the about — Charioupolis
παρακειμένας πόλεις ἐλῄζετο. καὶ εἰς αὐτὴν δὲ φθάσας
lying-near cities plundered and to itself and having-arrived
τὴν Χαριούπολιν καὶ λείαν πολλὴν ἀναλαβόμενος κατέλαβε
— Charioupolis and booty much having-taken-up reached
τόπον τινὰ Σκοτεινὸν καλούμενον. μεμαθηκὼς τοῦτο
place a-certain Skoteinos called having-learned this

ὁ Μαυροκατακαλὼν Νικόλαος καὶ ὁ Βεμπετζιώτης τὴν
— *Maurokatakalon Nicholas and — Bempetziotes the*
ἐπωνυμίαν ἀπὸ τῆς ἐνεγκαμένης λαχὼν μετὰ τῶν ὑπ᾽
surname from the land-that-bore-him having-got with the under
αὐτοὺς δυνάμεων καταλαμβάνουσι τὸ Πάμφυλον. ὁρῶντες
them forces reach — Pamphylon seeing
δὲ τοὺς περὶ τὰς κωμοπόλεις τῶν παρακειμένων χωρῶν
and those about the country-towns of-the nearby lands
πρὸς τὰς πόλεις καὶ τὰ φρούρια συνελαυνομένους διὰ
to the cities and the forts being-driven because-of
πτοίαν πολλὴν ἀπάραντες τοῦ οὑτωσὶ καλουμένου
terror much having-set-out from-the so called
Παμφύλου τόπου καταλαμβάνουσι τὸ τοῦ Κούλη πολίχνιον
Pamphylon place reach the — of-Koules little-town
τὸ ἅπαν συνεπαγόμενοι στράτευμα. ὄπισθεν δὲ τούτων
the whole bringing army behind and them
ἐρχόμενοι καὶ τὸν οὑτωσὶ καλούμενον κοπὸν τοῦ Ῥωμαϊκοῦ
coming and the so called kopos of-the Roman
στρατεύματος (λέξις δὲ αὕτη συνήθης τοῖς στρατιώταις)
army word and this customary for-the soldiers
εὑρόντες οἱ Σκύθαι παρείποντο ἰχνηλατοῦντες οἷον τὸ
having-found the Scythians followed tracking as-it-were the
Ῥωμαϊκὸν στράτευμα. αὐγαζούσης δὲ ἤδη τῆς ἡμέρας
Roman army dawning and already the day
τὰς ἰδίας ὁ Τζελγοὺ καθιστᾷ δυνάμεις καὶ τὸν κατὰ τοῦ
the own — Tzelgou sets forces and the against —
Μαυροκατακαλὼν ἐβουλεύετο πόλεμον. ἐκεῖνος δὲ κατὰ
Maurokatakalon was-planning war that-man and onto
τὸν ὑπερκείμενον τῆς πεδιάδος αὐχένα ἀνῆλθε μετά τινων
the overlying of-the plain ridge went-up with some
λογάδων κατασκοπήσων τὰς βαρβαρικὰς δυνάμεις. ὁρῶν δὲ
picked-men going-to-spy-out the barbarian forces seeing and

τὸ πλῆθος τῶν Σκυθῶν ἐσφάδαζε μὲν τὴν συμπλοκὴν τοῦ
the multitude of-the Scythians was-quivering indeed for-the engagement of-the
πολέμου, ἀνεβάλλετο δὲ τὴν Ῥωμαϊκὴν στρατιὰν κατανοῶν
war was-putting-off but the Roman army perceiving
μηδὲ τὸ πολλοστὸν σῴζουσαν τῆς τῶν βαρβάρων δυνάμεως.
not-even the smallest-fraction keeping of-the of-the barbarians force
ἐπανελθὼν δὲ μετὰ τῶν λογάδων τοῦ ὁπλιτικοῦ παντὸς
having-returned and with the picked-men of-the heavy-armed-force all
καὶ αὐτοῦ τοῦ Ἰωαννάκη διεσκοπεῖτο, εἰ χρὴ
and himself — of-Ioannakes be-considered whether it-is-needful
προσβαλεῖν τοῖς Σκύθαις. τῶν δὲ πρὸς τοῦτο ἐποτρυνόντων,
to-attack the Scythians those and to this urging
ἐπεὶ καὶ αὐτὸς πρὸς τοῦτο μᾶλλον κατάρροπος ἦν, τριχῇ
since also he to this rather inclined was in-three
διελὼν τὰς δυνάμεις καὶ τὸ ἐνυάλιον ἠχῆσαι κελεύσας
having-divided the forces and the war-cry to-sound having-ordered
ξυμμίγνυται τοῖς βαρβάροις. πολλοὶ μὲν οὖν τηνικαῦτα
engages the barbarians many indeed then at-that-time
τρωθέντες πίπτουσι, κτείνονται δὲ οὐχ ἧττους· καὶ αὐτὸς
wounded fall are-killed and not fewer and himself
ὁ Τζελγοὺ γενναίως μαχόμενος καὶ ὅλας συνταράσσων
— Tzelgou nobly fighting and whole confounding
φάλαγγας καιρίαν πληγεὶς ἀφῄρηται τὴν ψυχήν. οἱ πλείους
phalanxes mortally struck is-deprived-of the soul the most
δὲ ἐν τῷ φεύγειν πίπτοντες εἰς τὸν ἀναμεταξὺ τοῦ
and in the fleeing falling into the between the
καλουμένου Σκοτεινοῦ καὶ τοῦ Κούλη ῥύακα ἀπεπνίγοντο
called Skoteinos and — Koules stream were-drowned
ὑπ᾽ ἀλλήλων συμπατούμενοι. λαμπρὰν τοίνυν τὴν κατὰ
by each-other trampled brilliant therefore the over
τῶν Σκυθῶν νίκην ἀράμενοι οἱ τοῦ βασιλέως εἰσῆλθον εἰς
the Scythians victory having-won those of-the emperor entered into

τὴν μεγαλόπολιν. δωρεὰς δὲ καὶ τιμὰς ἀπὸ τοῦ βασιλέως
the great-city gifts and also honors from the emperor
δεξάμενοι κατὰ τὸ ἀνάλογον ὑπέστρεψαν μετὰ τοῦ
having-received according-to the proportion returned with the
τηνικαῦτα προχειρισθέντος μεγάλου δομεστίκου τῆς δύσεως
then appointed grand domestic of-the west
Ἀδριανοῦ τοῦ Κομνηνοῦ καὶ αὐταδέλφου τοῦ αὐτοκράτορος.
Adrian the Komnenos and own-brother of-the autocrat

XXV · THE ECLIPSE

The Scythians camp about the Ister and plunder the Roman lands as their own. Alexios, at Lardea, sends George Euphorbenos by water against Dristra and debates crossing the Haimos. Bryennios warns that the swifter horses will be tested in flight, but the young men, with Diogenes' sons, urge battle. Anna describes the porphyra and praises her husband the Caesar, a writer of history. The Scythians send envoys, and Alexios stakes their reception on a sign; an eclipse follows, and the envoys, sent under guard, escape.

Οὕτως δὲ τῶν κατὰ Μακεδονίαν καὶ Φιλιππούπολιν μερῶν
thus and from-the in Macedonia and Philippopolis parts
ἀπελαθέντες περὶ τὸν Ἴστρον αὖθις ἐπαναστρέψαντες
having-been-driven-out about the Ister again having-returned
ηὐλίζοντο καὶ ὥσπερ ἰδίαν τὴν ἡμεδαπὴν ἀνέτως πάντη
they-camped and as-if own the our-land freely everywhere
παροικοῦντες ἐλῄζοντο. ταῦτα ὁ βασιλεὺς ἀκούων
dwelling-beside they-plundered these(-things) the emperor hearing
οὐκ ἠνείχετο τῶν Ῥωμαϊκῶν ὁρίων εἴσω τοὺς Σκύθας
not endured the Roman borders inside the Scythians
παροικεῖν, ἅμα δὲ καὶ δεδιώς, μὴ διὰ τῶν στενωπῶν
to-dwell together and also fearing lest through the defiles

διελθόντες αὖθις χείρονα τῶν προτέρων ἀπεργάσωνται.
having-passed again worse-things than-the former they-might-work
ἔνθεν τοι καὶ παρεσκευασμένος καὶ καλῶς ἐξοπλίσας τὸ
whence surely also having-prepared and well having-equipped the
στράτευμα καταλαμβάνει τὴν Ἀδριανούπολιν καὶ ἐκεῖθεν
army reaches — Adrianople and from-there
πρὸς τὸν Λαρδέαν ἄπεισιν ἐν μεταιχμίῳ τῆς Διαμπόλεως
to — Lardea goes-away in the-space-between — Diampolis
καὶ Γολόης διακείμενον. κἀκεῖσε προχειρισάμενος ἡγεμόνα
and Goloe lying and-there having-appointed as-leader
Γεώργιον τὸν Εὐφορβηνὸν κατὰ τῆς Δρίστρας διαπόντιον
George the Euphorbenos against — Dristra by-water
ἐξέπεμψεν. ὁ δὲ αὐτοκράτωρ ἐπὶ τεσσαράκοντα ἡμέραις
he-sent-out the and autocrat for forty days
αὐτοῦ που ἐγκαρτερῶν τὰς ἀπανταχόθεν δυνάμεις
there somewhere staying the from-everywhere forces
μετεπέμπετο. ἱκανὸν δὲ συνειλοχὼς στράτευμα ἐβουλεύετο,
summoned considerable and having-collected army was-deliberating
εἰ χρὴ τὰς κλεισούρας διεληλυθότα τὴν μετὰ τῶν
whether it-is-needful the passes having-passed-through the with the
Σκυθῶν ἀναδέξασθαι μάχην, “οὐ χρὴ” λέγων “ἐκεχειρίαν
Scythians to-take-up battle not it-is-needful saying respite
ὅλως τοῖς Σκύθαις δίδοσθαι,” εἰκότως τοῦτο περὶ τουτωνὶ
at-all to-the Scythians to-be-given reasonably this about these-here
τῶν βαρβάρων σκοπήσας. οὐδὲ γὰρ ἀπό τινος καιροῦ
the barbarians having-considered not-even for from some season
τῶν τεττάρων καταρξάμεναι αἱ τῶν Σκυθῶν προνομαὶ
of-the four having-begun the of-the Scythians forays
εἰς τὸν ἐφεξῆς κατέληγον, θέρους τυχὸν εἰς τὸν καιρὸν
into the next ended in-summer perhaps into the season
τῆς ὀπώρας ἢ καὶ χειμῶνος ἐν φθινοπώρῳ παυσάμεναι·
of-the autumn or even of-winter in late-autumn having-ceased

οὐδὲ κύκλος εἷς ἐνιαύσιος τουτὶ τὸ κακὸν περιέγραψεν,
nor circle one yearly this the evil circumscribed
ἀλλ᾽ ἐφ᾽ ἱκανοῖς ἔτεσι τὰ Ῥωμαίων ἐκυμαίνετο,
but for considerable years the(-affairs) of-Romans surged
κἂν ἐκ πολλῶν ὀλίγων τινῶν αὐτοὶ ἐπεμνήσθημεν.
even-if from many few some we made-mention
οὐδὲ διπλοῖς ἐμερίσθησαν λογισμοῖς, κἂν ὁ αὐτοκράτωρ
not-even double they-were-divided reasonings even-if the autocrat
πολλάκις διὰ παντοίων τούτους ἐφείλκετο· ἀλλ᾽ οὐδέ
often through every-kind-of-means them drew but not-even
τις λαθὼν πρὸς τὸν βασιλέα ἀπηυτομόλησεν,
anyone having-escaped-notice to the emperor deserted
ἔτι ἀμετάθετον τέως τὴν γνώμην ἔχοντες. ὁ μὲν
still unchanged for-the-time the mind having — indeed
οὖν Νικηφόρος ὁ Βρυέννιος καὶ ὁ Μαυροκατακαλὼν
then Nikephoros the Bryennios and — Maurokatakalon
Γρηγόριος, ὃν τιμῆς τεσσαράκοντα χιλιάδων ὁ βασιλεὺς
Gregory whom at-a-price of-forty thousand the emperor
παρὰ τῶν Σκυθῶν ἑαλωκότα ἐπρίατο, οὐδαμῶς τὸν μετὰ
from the Scythians captured had-bought in-no-way the with
τῶν Σκυθῶν κατὰ τὸ Παρίστριον συνεχώρουν πόλεμον·
the Scythians in — Paristrion allowed war
ὁ δέ γε Παλαιολόγος Γεώργιος καὶ Νικόλαος ὁ
— and at-least Palaiologos George and Nicholas the
Μαυροκατακαλὼν καὶ ὁπόσοι ἄλλοι νέοι καὶ ἀκμάζοντες
Maurokatakalon and as-many-as other young and in-their-prime
τῷ τοῦ βασιλέως προσκείμενοι θελήματι ἐπέτρεπον τὰ
to-the of-the emperor attached will urged the
τέμπη τοῦ Αἵμου διελθεῖν καὶ κατὰ τὸ Παρίστριον
valleys of-the Haimos to-pass-through and in — Paristrion
τὴν μετὰ τῶν Σκυθῶν ἀναδέξασθαι μάχην. σὺν οἷς
the with the Scythians to-take-up battle with whom

καὶ οἱ δύο υἱεῖς Διογένους τοῦ αὐτοκράτορος, Νικηφόρος
also the two sons of-Diogenes the autocrat Nikephoros
τε καὶ Λέων, οἳ μετὰ τὸ ἀνενεχθῆναι αὐτὸν εἰς τὴν
both and Leo who after the to-be-raised him to the
τῆς βασιλείας περιωπὴν ἐν τῇ πορφύρᾳ ἐξ αὐτοῦ
of-the empire eminence in the porphyra from him
ἐτέχθησαν κἀντεῦθεν πορφυρογέννητοι προσηγορεύθησαν.
were-born and-thence born-in-the-purple were-called
ἡ δὲ πορφύρα οἴκημά τί ἐστι κατὰ τὰ ἀνάκτορα ἐξ
the and porphyra chamber a is in the palace from
αὐτῆς τῆς βάσεως μέχρι τῆς τοῦ ὀρόφου κινήσεως διὰ
the-very the base up-to the of-the roof spring through
τετραγώνου συμπληρούμενον σχήματος, ἐκεῖθεν δὲ εἰς
square completed form from-there and into
πυραμίδα ἀποτελευτῶν, ἀφορῶν μὲν ὡς πρὸς θάλατταν
a-pyramid ending looking indeed as toward sea
πρὸς τὸν λιμένα, οὗπερ οἱ πέτρινοι βόες καὶ οἱ λέοντες,
toward the harbor where the stone oxen and the lions
διὰ μαρμάρων δὲ τό τε ἔδαφος κατέστρωτο καὶ οἱ
with marble and the both floor was-paved and the
τοῖχοι περιεστέλλοντο, οὐ τῶν τυχόντων οὐδὲ τῶν ἄλλων
walls were-faced not of-the ordinary nor of-the others
ὁπόσοι εὐποριστότεροι τῶν τιμιωτέρων λίθων εἰσίν, ἀλλ'
as-many-as more-easily-procured of-the more-precious stones are but
ἐξ ὧν ἀπὸ Ῥώμης οἱ ἀνέκαθεν βασιλεῖς ἐπεσύροντο.
of which from Rome the from-of-old emperors brought
ἔστι δὲ οὗτος ὁ λίθος τὸ ὅλον εἰπεῖν πορφυροῦς δι'
is and this the stone the whole to-say purple through
ὅλου καὶ οἷον στίγματά τινα ψαμμοειδῆ λευκὰ αὐτῷ
whole and as-it-were spots some sandy white over-it
περιτρέχουσιν. ἐκ τουτωνὶ τῶν λίθων, οἶμαι, πορφύραν τὸ
run-round from these-here the stones I-think porphyra the

οἴκημα οἱ ἀνέκαθεν ὠνόμασαν. ἀλλ᾽ ὅπερ ἔλεγον, ὡς οὖν
chamber the from-of-old named but what I-was-saying as then
ἡ σάλπιγξ μέγα ἠχήσασα ἅπαντας τὴν πρὸς τὸν Αἷμον
the trumpet loudly having-sounded all the to the Haimos
ὁδὸν οἱονεὶ κατὰ τῶν Σκυθῶν προὐτρέπετο, ὁ Βρυέννιος
road as-if against the Scythians urged — Bryennios
πολλὰ κωλύων τὸν αὐτοκράτορα τοῦ ἐγχειρήματος, ὡς
much preventing the autocrat from-the undertaking as
οὐκ ἔπειθεν, ἐπιφωνηματικῶς φησιν "ἴσθι, ὦ βασιλεῦ,
not he-persuaded exclaiming says know O emperor
εἰ τὸν Αἷμον διέλθητε, τοὺς δρομικωτέρους τῶν ἵππων
if the Haimos you-pass-through the swifter of-the horses
δοκιμάσεις." ἐρωτήσαντος δέ τινος, τί ὁ λόγος οὑτοσὶ
you-will-test having-asked and someone what the saying this-here
βούλεται, "ἐν τῷ φεύγειν" φησὶν "ἅπαντας." οὗτος γὰρ ὁ
means in the fleeing he-says all this-one for the
ἀνήρ, εἰ καὶ τοὺς ὀφθαλμοὺς δι᾽ ἀποστασίαν ἐξεκέκοπτο,
man if even the eyes for rebellion had-been-put-out
ἀλλὰ τό γε εἰς στρατηγικωτάτην βουλὴν καὶ παράταξιν
but as-to at-least in most-strategic counsel and battle-array
δεινότατος τῶν πολλῶν καὶ ποικιλώτατος ἐγνωρίζετο.
most-skilled of-the many and most-versatile was-known
ὅπως δὲ τῶν ὀμμάτων ὁ προμνημονευθεὶς Βρυέννιος
how and of-the eyes the aforementioned Bryennios
ἀπεστέρητο δι᾽ ἀποστασίαν ἢ ἐπανάστασιν κατὰ τοῦ
was-deprived for rebellion or uprising against the
αὐτοκράτορος Βοτανειάτου καὶ ὅτι παρὰ τοῦ Κομνηνοῦ
autocrat Botaneiates and that by — Komnenos
Ἀλεξίου τότε μεγάλου δομεστίκου τυγχάνοντος τῶν δυτικῶν
Alexios then grand domestic being of-the western
τε καὶ ἀνατολικῶν στρατευμάτων κατασχεθεὶς τῷ Βορίλῳ
both and eastern armies seized — to-Borilos

παρεδόθη τὰς ὄψεις ἀβλαβεῖς ἔχων, τοὺς ἐθέλοντας
was-handed-over the eyes unharmed having those wishing
λεπτομερέστερον μαθεῖν παραπέμπομεν εἰς τὸν μέγιστον
in-more-detail to-learn we-refer to the greatest
Καίσαρα. ὁ γὰρ Καῖσαρ οὗτος τοῦ μὲν Ἀλεξίου ἤδη
Caesar the for Caesar this — indeed of-Alexios already
τὰ Ῥωμαίων διέποντος σκῆπτρα γαμβρὸς ἐγεγόνει, τοῦ
the of-Romans administering scepters son-in-law had-become —
δὲ Βρυεννίου ἐκείνου ἀπόγονος. ἀλλ' ἐνταυθοῖ γενομένη
and of-Bryennios that descendant but here having-come
συγχέομαι τὴν ψυχὴν καὶ πάθους ἐμπίπλαμαι. σοφὸς
I-am-confounded in-the soul and with-grief am-filled wise
μὲν γὰρ τὴν γνώμην ἦν οὗτος ὁ ἀνὴρ καὶ τὸν λόγον
indeed for in-the mind was this the man and in-the speech
σοφώτατος. πάντα γὰρ καὶ ῥώμη καὶ τάχος καὶ κάλλος
most-wise all for both strength and speed and beauty
σώματος καὶ ἁπλῶς ἐς ταὐτὸ συνελθόντα ὅσα ψυχῆς
of-body and simply into the-same having-come-together as-many-as of-soul
καὶ σώματος ἀγαθά, τὸν ἄνδρα ἐκεῖνον ἐκόσμησεν. ἕνα γὰρ
and of-body goods the man that adorned one for
αὐτὸν ἐν τοῖς ἅπασιν ἐξοχώτατον καὶ ἡ φύσις ἀνεβλάστησε
him in the all-things most-outstanding both the nature made-grow
καὶ ὁ θεὸς ἐδημιούργησε. καὶ οἷον τὸν Ἀχιλλέα ὕμνησεν
and — God fashioned and as — Achilles hymned
Ὅμηρος ἐν τοῖς Ἀχαιοῖς, τοιοῦτον ἄν τις εἶπε
Homer among the Achaeans such — anyone would-say
τὸν ἐμὸν Καίσαρα ἐν τοῖς ὑπὸ τὸν ἥλιον ἅπασιν
the my Caesar among the under the sun all
ἀναπεφηνότα. οὗτος τοίνυν ὁ Καῖσαρ καὶ τὰ στρατιωτικὰ
having-appeared this therefore the Caesar also the military-arts
γεγονὼς ἄριστος οὐκ ἀμελετήτως ἔσχε πρὸς λόγους, ἀλλὰ
having-become best not unpracticed was toward letters but

πᾶσαν βίβλον ἀναπτυξάμενος καὶ εἰς πᾶσαν ἐπιστήμην
every book having-unrolled and into every science
ἐγκεκυφὼς πολλὴν σοφίαν ἐκεῖθεν ἠρύσατο, ὅση τε
having-pored much wisdom thence drew as-much-as both
ἡμετέρα καὶ ὅση ποτὲ ἡμετέρα. ὕστερον δὲ καὶ πρὸς
ours and as-much-as once ours later and also to
συγγραφὰς ἐξέδωκεν ἑαυτὸν καὶ δὴ καὶ σύγγραμμα ἐξ
writings gave himself and indeed also a-writing by
ἐπιταγῆς τῆς ἐμῆς δεσπότιδος καὶ μητρός, τῆς βασιλίδος
command of-the my mistress and mother the empress
φημὶ Εἰρήνης, ἐσχεδίασεν ἄξιον λόγου καὶ ἀναγνώσεως
I-mean Irene composed worthy of-mention and of-reading
ἱστορίαν συντεταχὼς τῶν πρὸ τοῦ ἀναδήσασθαι τὰς
a-history having-composed of-the before the to-bind-on the
τῆς βασιλείας ἡνίας πράξεων τοὐμοῦ πατρός, ἐν ᾗ
of-the empire reins deeds of-my father in which
τὰ κατὰ τὸν Βρυέννιον ἀκριβέστερον ἐπεξέρχεται
the(-affairs) concerning — Bryennios more-exactly he-goes-through
καὶ ὁμοῦ τάς τε τοῦ προγόνου συμφορὰς ὡς ἀληθῶς
and together the both of-the ancestor misfortunes as truly
ἀφηγήσατο καὶ τὰς τοῦ πενθεροῦ ἀριστείας συνέγραψε
narrated and the of-the father-in-law prowess wrote-up
καὶ οὐκ ἂν ἐψεύσατο καὶ περὶ ἀμφοῖν ὡς τοῦ
and not — he-would-have-lied also about both as of-the(-one)
μὲν ἀγχιστεύς, τοῦ δὲ καθ' αἷμα προσήκων. καὶ
indeed a-relative-by-marriage of-the(-other) and by blood related also
μεμνήμεθα τούτων κἂν τοῖς προτέροις λόγοις τῆσδε τῆς
we-have-mentioned these even-in the former words of-this the
ἱστορίας. ἐπεὶ δὲ τὸν Εὐφορβηνὸν Γεώργιον μεθ' ἱκανῆς
history since and — Euphorbenos George with considerable
στρατιᾶς καὶ στόλου διὰ τοῦ Ἴστρου ἐρχόμενον κατ'
army and fleet through the Ister coming against

αὐτῶν οἱ Σκύθαι ἐθεάσαντο (ὁ δὲ ποταμὸς οὗτος ῥεῖ
them the Scythians saw the and river this flows
μὲν ἄνωθεν ἀπὸ τῶν δυτικῶν ὀρῶν, ἐκδίδοται δὲ διὰ
indeed from-above from the western mountains is-discharged and through
τῶν καταρρακτῶν καὶ μετὰ ταῦτα διὰ πέντε τινῶν
the cataracts and after these through five some
στομάτων εἰς τὸν Πόντον τὸν Εὔξεινον, μέγας τε καὶ
mouths into the Pontus the Euxine great both and
πολὺς διὰ πολλῆς πεδιάδος ἐρχόμενος καὶ ναυσίπορος
much through much plain coming and navigable
ὤν, ὡς καὶ τῶν πλοίων τὰ μέγιστά τε καὶ φορτηγότατα
being so-that also of-the boats the greatest both and most-cargo-bearing
τούτῳ τῷ ποταμῷ ἐπινήχεσθαι· οὐ μίαν δὲ προσηγορίαν
on-this the river to-float not one and name
λαμβάνει, ἀλλὰ τὰ ἀνωτέρω μὲν καὶ πρὸς τὰς πηγὰς
it-takes but the higher-parts indeed and toward the springs
Δάνουβις ὄνομα τούτῳ, τὰ κάτω δὲ καὶ πρὸς τὰς
Danube name for-it the(-parts) below and also toward the
ἐκβολὰς Ἴστρος ἐπονομάζεται), ἐπειδὴ τοίνυν διὰ τούτου
outlets Ister it-is-named since therefore through this
τοῦ ποταμοῦ τὸν Εὐφορβηνὸν Γεώργιον ἡ τῶν Σκυθῶν
the river — Euphorbenos George the of-the Scythians
μερὶς ἐθεάσατο, ἐξ ἠπείρου δὲ καὶ τὸν αὐτοκράτορα
portion saw from mainland and also the autocrat
μετὰ στρατεύματος πλείστου αὐτοὺς ἤδη καταλαμβάνοντα
with army very-great them already reaching
μεμαθήκεσαν, ὡς ἀμήχανον τὴν μεθ' ἑκατέρων μάχην
they-had-learned as impossible the with both battle
εὑρίσκοντες τρόπον ἐπεζήτουν, δι' οὗ γένοιτ' ἂν αὐτοῖς
finding a-way they-sought through which might-be — for-them
τὸ ὀξὺ τοῦ κινδύνου διεκφυγεῖν. πέμπουσι τοίνυν πρέσβεις
the sharpness of-the danger to-escape they-send therefore envoys

ἑκατὸν πρὸς τοῖς πεντήκοντα Σκύθας ἐπερωτῶντας τάχα
hundred besides the fifty Scythians asking perhaps
τὰ περὶ εἰρήνης, ἅμα δὲ καὶ ἀπειλήν τινα μεταξὺ
the(-terms) about peace together and also a-threat some between
τῶν λόγων παρενείροντας, ἔστιν οὗ καὶ ὑπισχνουμένους,
the words weaving-in there-is where also promising
εἰ ταῖς τούτων αἰτήσεσι κατανεῦσαι θελήσειε, μεθ' ἱππέων
if to-the their requests to-assent he-should-wish with horsemen
χιλιάδων τριάκοντα συμμαχεῖν τῷ αὐτοκράτορι, ὁπηνίκα
thousands thirty to-fight-alongside the autocrat when
βούλοιτο. ὁ δὲ αὐτοκράτωρ τὴν ἀπάτην διαγνοὺς
he-might-wish the and autocrat the deceit having-discerned
τῶν Σκυθῶν καὶ ὅτι τὸν ὑπόγυον κίνδυνον φεύγοντες
of-the Scythians and that the imminent danger fleeing
τοιαῦτα διαπρεσβεύονται, καὶ εἰ ἀδείας ὅλως τύχοιεν,
such-things they-negotiate and if license at-all they-should-get
τὸν ὑποκρυπτόμενον τῆς αὐτῶν κακίας σπινθῆρα εἰς
the hidden of-the their wickedness spark into
πυρσὸν ἀνάψουσι μέγαν, τὴν πρεσβείαν οὐκ ἐδέχετο.
blaze they-will-kindle great the embassy not he-received
τούτων δὲ τῶν λόγων συνειρομένων Νικόλαός τις
these and the words being-strung-together Nicholas a-certain
τῶν ὑπογραμματευόντων τῷ αὐτοκράτορι προσελθὼν
of-the under-secretaries to-the autocrat having-come
πρὸς τὸ οὖς καὶ ὑποψιθυρίσας φησί "κατὰ ταυτηνὶ τὴν
to the ear and having-whispered says on this-here the
ἡμέραν, βασιλεῦ, ἔκλειψιν τοῦ ἡλιακοῦ φωτὸς προσδόκει
day emperor eclipse of-the solar light expect
γενήσεσθαι". τοῦ δὲ διαπιστοῦντος ἐκεῖνος ἐπώμνυτο μὴ
to-happen him and disbelieving that-man swore not
διαψεύσασθαι. ὁποῖος δὲ ὁ αὐτοκράτωρ γοργὸς περὶ τὰς
to-be-mistaken such-as and the autocrat quick about the

ἐνθυμήσεις, ἐπιστραφείς φησι τοῖς Σκύθαις "θεῷ τὴν κρίσιν
thoughts having-turned says to-the Scythians to-God the judgment
ἀνατίθημι· καὶ εἰ μέν τι σημεῖον ἐξ οὐρανοῦ κατὰ
I-refer and if indeed some sign from heaven on
ταυτηνὶ τὴν ἡμέραν ἔκδηλον γένηται, εἴσεσθε πάντως,
this-here the day manifest happens you-will-know certainly
ὡς ἐγὼ μὲν ὕποπτον οὖσαν τὴν ὑμῶν πρεσβείαν εὐλόγως
that I indeed suspect being the your embassy reasonably
οὐ δέχομαι, ὅτι οὐκ ἐπ' ἀληθείας οἱ φαλαγγάρχαι ὑμῶν
not receive that not in truth the phalanx-commanders your
τὰ περὶ εἰρήνης διαπρεσβεύονται· εἰ δ' οὖν, διαμαρτὼν
the(-terms) about peace negotiate if but then having-missed
αὐτὸς τοῦ στοχασμοῦ ἐλεγχθήσομαι." δύο οὔπω παρῆλθον
I of-the guess I-shall-be-refuted two not-yet had-passed
ὧραι, καὶ τὸ ἡλιακὸν φῶς ἐπιλέλοιπεν, ὡς ἀφεγγῆ τὸν
hours and the solar light failed so-that lightless the
ὅλον δίσκον γενέσθαι ὑποδραμούσης αὐτὸν τῆς σελήνης.
whole disk to-become having-run-under it the moon
καὶ οἱ μὲν Σκύθαι τηνικαῦτα ἔκθαμβοι γεγόνασιν, ὁ δέ
and the indeed Scythians then astounded became the and
γε αὐτοκράτωρ παραδίδωσιν αὐτοὺς Λέοντι τῷ Νικερίτῃ
at-least autocrat hands-over them to-Leo the Nikerites
(ἐκτομίας δὲ οὗτος καὶ τοῖς στρατιωτικοῖς νηπιόθεν
a-eunuch and this-one also in-the military-affairs from-childhood
ἐνδιατρίψας καὶ ἀναφανεὶς δοκιμώτατος) ἐπισκήψας μεθ'
having-spent-time and having-appeared most-approved having-enjoined with
ἱκανῶν διασῶσαι τούτους μέχρι τῆς βασιλίδος τῶν
considerable(-men) to-bring-safely them as-far-as the queen of-the
πόλεων. ὁ δὲ μάλα προθύμως τῆς πρὸς τὴν
cities he and very eagerly the(-road) to the(-city)
Κωνσταντίνου ἥψατο. οἱ δὲ βάρβαροι διὰ παντὸς τῆς
of-Constantine took the and barbarians through all the

ἑαυτῶν φροντίζοντες ἐλευθερίας, ἐπὰν τὴν μικρὰν Νίκαιαν
own caring-for freedom when the Little Nicaea
ἔφθασαν, νυκτὸς ἀναιροῦσι τοὺς φύλακας ἀμελῶς περὶ τὴν
they-reached at-night kill the guards carelessly about the
αὐτῶν διατεθέντας φυλακὴν καὶ διά τινων σκολιωτέρων
their disposed guard and through some more-crooked
ἀτραπῶν ἐπαναστρέφουσι πρὸς τοὺς πέμψαντας. ὁ δὲ
paths return to those having-sent — and
Νικερίτης μετὰ τριῶν μόγις σωθεὶς καταλαμβάνει τὸν
Nikerites with three hardly saved reaches the
αὐτοκράτορα εἰς Γολόην.
autocrat at Goloe

XXVI · DEFEAT AT DRISTRA

Alexios marches through the Sidera to Pliskoba and takes Dristra but not its two citadels. Against advice he offers battle, his kin about him and six picked men guarding his person. Leo Diogenes falls charging the wagons, and Adrian barely escapes. Scythian reinforcements break the Romans. Alexios, holding the omophorion of the Mother of God as a standard, cuts down his attackers, refuses to flee with the rout, and breaks through the Scythian line. Wounded, he hides the omophorion and escapes to Goloe and Beroe.

Ταῦτα μεμαθηκὼς ὁ βασιλεὺς καὶ πτοηθείς, μὴ
these(-things) having-learned the emperor and having-been-frightened lest
οἱ πρέσβεις ἅπαν τὸ Σκυθικὸν στράτευμα κατ᾽ αὐτοῦ
the envoys all the Scythian army against him
ἐρεθίσαντες ἐπεισπέσωσιν αὐτῷ, οὐκ ὀνείρου δεηθεὶς πρὸς
having-provoked should-fall-upon him not of-a-dream having-needed to
μάχην αὐτὸν ἐποτρύνοντος καθάπερ ποτὲ τὸν Ἀτρέως
battle him urging as once the of-Atreus

Ἀγαμέμνονα, ἀλλ᾽ ἀναζέσας πρὸς μάχην καὶ τὴν Σιδηρᾶν
Agamemnon but having-boiled-up for battle also — Sidera
μετὰ τῶν ταγμάτων διελθὼν τὸν χάρακα περὶ τὴν
with the units having-passed-through the palisade about the
Βιτζίναν ἐπήξατο· ποταμὸς δὲ οὗτος ἀπὸ τῶν παρακειμένων
Bitzina pitched a-river and this from the neighboring
ὀρῶν ῥέων. πολλοὶ δὲ τηνικαῦτα χορταγωγίας χάριν
mountains flowing many and then of-foraging for-the-sake
τοῦ χάρακος πορρωτέρω γενόμενοι ἀνῃρέθησαν, πολλοὶ
from-the palisade farther having-gone were-killed many
δὲ καὶ κατεσχέθησαν. ὁ δὲ αὐτοκράτωρ κατὰ τὸ
and also were-captured the and autocrat at the
περίορθρον ταχὺ καταλαμβάνει τὴν Πλίσκοβαν κἀκεῖθεν
early-dawn quickly reaches — Pliskoba and-from-there
εἰς ἀκρολοφίαν τινὰ τοῦ Συμεῶνος καλουμένην ἄνεισιν,
to hill-top a-certain — of-Symeon called goes-up
ἣ καὶ Βουλευτήριον τῶν Σκυθῶν ἐγχωρίως ὠνομάζετο.
which also Council-House of-the Scythians locally was-named
τὰ αὐτὰ δὲ πάλιν τοῖς τῶν χρειωδῶν συγκομιδῆς
the same-things and again to-those of-the necessities collection
χάριν τῆς παρεμβολῆς μακρὰν γενομένοις συνέβαινε.
for-the-sake from-the camp far having-gone happened
τῇ δὲ μετ᾽ αὐτὴν παρά τινα ποταμὸν ἔρχεται ἀγχοῦ
on-the and after it by some river he-comes near
τῆς Δρίστρας ῥέοντα καὶ ὡσεὶ σταδίους εἴκοσι πρὸς τοῖς
— Dristra flowing and about stades twenty besides the
τέσσαρσιν ἀπέχοντα κἀκεῖσε τὰς σκευὰς καταθέμενος τὸν
four distant and-there the baggage having-laid-up the
χάρακα πήγνυται. ἐπεισπεσόντες δὲ ἀθρόον οἱ Σκύθαι
palisade pitches having-fallen-upon and in-a-body the Scythians
τῇ τοῦ βασιλέως σκηνῇ ἐξ ἑτέρου ἀνεῖλον μὲν τῶν
on-the of-the emperor tent from the-other-side killed indeed of-the

ψιλῶν τοῦ στρατοῦ ἱκανούς, κατέσχον δὲ καί τινας
light-armed of-the army a-good-number held and also some
τῶν ἐκθυμότερον ἀγωνισαμένων Μανιχαίων. καὶ θόρυβος
of-the more-passionately having-contended Manichaeans and uproar
ἐπὶ τούτοις τοῦ στρατεύματος ἦρτο πολὺς καὶ σύγχυσις,
at these-things of-the army arose great and confusion
ὡς καὶ τὴν βασιλικὴν καταπεσεῖν σκηνὴν ἐξ αἰτίας τῶν
so-that also the imperial to-fall-down tent from cause of-the
ἀτάκτως θεόντων ἱππέων. ὅπερ τοῖς μὴ εὔνως πρὸς τὸν
disorderly running horsemen which to-those not well toward the
αὐτοκράτορα διακειμένοις κακὸς οἰωνὸς ἔδοξεν. ἀλλ' ὁ
autocrat disposed an-evil omen seemed but the
μὲν βασιλεὺς τοὺς ἐπεισπεσόντας βαρβάρους διά τινος
indeed emperor the having-fallen-upon barbarians through some
στρατιᾶς ἐξελάσας πόρρω που τῆς σκηνῆς, ὅπως μὴ
force having-driven-off far somewhere from-the tent so-that not
θορυβοῖεν, εὐθὺς ἐποχηθεὶς ἐκεῖθεν καὶ καταστείλας τὸν
they-might-disturb at-once having-mounted from-there and having-calmed the
θόρυβον σὺν αὐταῖς δυνάμεσι μετ' εὐταξίας τὴν πορείαν
uproar with the-very forces with good-order the march
ποιησάμενος καταλαμβάνει τὴν Δρίστραν (πόλις δὲ αὕτη
having-made reaches — Dristra city and this
τῶν περὶ τὸν Ἴστρον διακειμένων περιφανής) πολιορκήσων
of-the about the Ister lying conspicuous going-to-besiege
ταύτην δι' ἑλεπόλεων. καὶ δῆτα ἔργου ἁψάμενος καὶ
it with siege-engines and indeed work having-taken-up and
πανταχόθεν ταύτην πολιορκῶν καὶ καταρράξας μίαν τῶν
from-all-sides it besieging and having-broken-down one of-the
ταύτης πλευρῶν εἰσῄει μετὰ παντὸς τοῦ στρατεύματος.
its sides he-entered with all the army
αἱ δὲ δύο ἀκροπόλεις τῆς ῥηθείσης πόλεως ἔτι παρὰ
the and two citadels of-the said city still by

τῶν συγγενῶν κατείχοντο τοῦ καλουμένου Τατοῦ, ἐκείνου
the kinsmen were-held of-the called Tatos that-man
προφθάσαντος ἀπελθεῖν ἐφ' ᾧ ἐπενδύσασθαι Κομάνους καὶ
having-been-first to-go-away for which to-put-on Cumans and
ἐπαναστρέψαι εἰς ἀρωγὴν τῶν Σκυθῶν. ὃς ἐν τῷ ἐκεῖθεν
to-return for aid of-the Scythians who in the from-there
ὑποχωρεῖν συντασσόμενος τοῖς ἰδίοις ἔφη ὡς "ἐγὼ μὲν
withdrawing taking-leave-of the own he-said that I indeed
ἀκριβῶς οἶδα τὸν βασιλέα τουτὶ τὸ κάστρον πολιορκῆσαι
exactly know the emperor this-here the fortress to-besiege
μέλλοντα. ἐπὰν οὖν αὐτοὶ τοῦτον θεάσησθε τὴν πεδιάδα
being-about when then you him see the plain
ταύτην καταλαβόντα, σπεύσατε ὑμεῖς προκαταλαβεῖν εἰς
this having-reached hasten you to-seize-first to
τὸν ὑπερκείμενον αὐχένα ἐπικαιρότατον ὄντα τῶν ἄλλων
the overlying ridge most-advantageous being of-the others
κἀκεῖσε τὸν χάρακα πήξασθαι, ὡς μὴ ἐκεχειρίαν ἔχειν τὸν
and-there the palisade to-pitch so-that not respite to-have the
αὐτοκράτορα πολιορκεῖν τὸ φρούριον, ἀλλὰ καὶ ὄπισθεν
autocrat to-besiege the fort but also behind
ὅμως ἔχειν τὸν νοῦν τὴν ἐξ ὑμῶν ὑφορώμενον βλάβην.
nevertheless to-have the mind the from you suspecting harm
ὑμεῖς δὲ πανήμεροι καὶ παννύχιοι κατ' αὐτοῦ πέμποντες
you and all-day and all-night against him sending
ἀμοιβαδὸν στρατιώτας μὴ ἐνδίδοτε". ὁ δὲ αὐτοκράτωρ
in-turn soldiers not cease the and autocrat
στοχασάμενος τοῦ δέοντος καταλιπὼν τὴν τῶν ἀκροπόλεων
having-guessed the needful having-left the of-the citadels
πολιορκίαν κἀκεῖθεν ἐξελθὼν περί τινα ῥύακα ἀγχοῦ
siege and-from-there having-gone-out about some stream near
τοῦ Ἴστρου διακείμενον τὸν χάρακα ἐπήξατο βουλευόμενος
the Ister lying the palisade pitched deliberating

εἰ χρὴ προσβαλεῖν τοῖς Σκύθαις. ὁ μὲν οὖν
whether it-is-needful to-attack the Scythians — indeed then
Παλαιολόγος καὶ ὁ Μαυροκατακαλὼν Γρηγόριος τὸν μετὰ
Palaiologos and — Maurokatakalon Gregory the with
τῶν Πατζινάκων ἀνεβάλλοντο πόλεμον, ὁπλισαμένους δὲ
the Patzinaks were-putting-off war armed and
συνεβούλευον τὴν μεγάλην Πρισθλάβαν καταλαβεῖν. "οἱ
they-advised the Great Pristhlava to-reach the
γὰρ Σκύθαι οὕτω πορευομένους ἡμᾶς καθωπλισμένους μετ'
for Scythians thus marching us armed with
εὐταξίας θεώμενοι οὐδαμῶς τὸν καθ' ἡμῶν ἀποθαρρήσουσι
good-order seeing in-no-way the against us will-dare
πόλεμον" ἔλεγον. "εἰ δὲ καὶ οἱ ἱππεῖς ἄτερ τῶν ἁμαξῶν
war they-said if and also the horsemen without the wagons
τοῦ πολέμου κατατολμήσειαν, εὖ ἴσθι, ἡττηθήσονται καὶ
the war should-dare well know they-will-be-defeated and
ἡμεῖς τοῦ λοιποῦ ὀχύρωμα ἐρυμνότατον τὴν μεγάλην
we for-the rest a-stronghold most-strongly-fortified the Great
ἕξομεν Πρισθλάβαν." πόλις δὲ αὕτη περιφανὴς περὶ
we-will-have Pristhlava city and this conspicuous about
τὸν Ἴστρον διακειμένη, ποτὲ μὲν οὔτ' οὔνομα τοῦτο
the Ister lying once indeed not name this
ἔχουσα τὸ βαρβαρικόν, ἀλλ' Ἑλληνίζουσα περὶ τὴν
having the barbarian but being-Greek in the
προσηγορίαν, μεγάλη πόλις καὶ οὖσα καὶ λεγομένη· ἀφ'
the entrance having-opened and at-once the indeed Scythians inside
τοῦ στομίου τῶν ἑκατέρωθεν φαλάγγων ἐγεγόνεισαν, οἱ
the mouth of-the on-both-sides phalanxes had-come the
δὲ τροχοὶ μετά τινος ῥοίζου καὶ καταφορᾶς ἐνεχθέντες
and wheels with some whizzing and downrush borne
ὑπὲρ πῆχυν ἀπὸ τοῦ τείχους ἕκαστος ἐφαλλόμενοι ἅτε
over a-cubit from the wall each leaping inasmuch-as
τῶν κυρτοτήτων ἑκάστου τροχοῦ ἀποκρουσθεισῶν ἐκ τοῦ
the curvatures of-each wheel having-been-struck-off from the
τείχους καὶ οἷον ἀποσφενδονηθεισῶν εἰς μέσους τοὺς
wall and as-it-were having-been-slung into the-midst the
τῶν βαρβάρων ἱππότας ἐξεκυλίσθησαν ῥύμην λαβόντες
of-the barbarians horsemen rolled impetus having-taken
σφοδροτέραν. τὸ μὲν καὶ ἀπὸ τῆς ἀθρόας καταφορᾶς
more-violent partly indeed also from the sudden downrush
τῷ φυσικῷ πειθόμενοι βάρει, τὸ δὲ καὶ ῥοπὴν λαβόντες
to-the natural obeying weight partly and also momentum having-taken
ἀκάθεκτον ἀπὸ τοῦ κατάντους τοῦ τόπου σφοδρῶς τε τοῖς
unrestrainable from the slope of-the place violently both on-the
βαρβάροις ἐνέπιπτον καὶ πανταχόθεν αὐτοὺς περιέθλιβον
barbarians fell and from-all-sides them crushed

τὰ σκέλη τῶν ἵππων· ὥσπερ θερίζοντες καὶ ἀμφότερα
the legs of-the horses as-if reaping and both
ἑκατέρωθεν ἀπό τε τῶν ἐμπροσθίων καὶ ὀπισθίων
on-both-sides from both the front and back
μερῶν διατεμόμενοι ὀκλάσαι τοὺς ἵππους, ἐφ' ἃ μέρη
parts having-cut to-sink-down the horses on which parts
τὴν πληγὴν ἐδέξαντο, κατηνάγκασαν καὶ τοὺς ἱππότας
the blow they-received compelled and the horsemen
συγκαταβαλεῖν. ὧν ἐπαλλήλων καὶ συχνῶν πιπτόντων, ἐξ
to-throw-down-with whom successive and frequent falling from
ἑκατέρου δὲ καὶ τῶν στρατιωτῶν κατ' αὐτῶν ἰεμένων καὶ
each-side and also the soldiers against them rushing and
δεινῆς τῆς μάχης τοῖς Σκύθαις πανταχόθεν ἐφισταμένης
terrible the battle on-the Scythians from-all-sides pressing
οἱ μὲν τοῖς πεμπομένοις ἀνῃροῦντο βέλεσιν, οἱ δὲ διὰ
some indeed by-the sent were-killed missiles others and with
τῶν δοράτων ἐπλήττοντο, τῶν δὲ λοιπῶν οἱ πλείους ὑπὸ
the spears were-struck of-the and rest the most by
τῶν τροχῶν σφοδρῶς καταφερομένων συνωθούμενοι πρὸς
the wheels violently rushing-down pushed to
τὸ ῥεῦμα τοῦ ποταμοῦ ἀπεπνίγησαν. τῇ δὲ μετ' αὐτήν,
the stream of-the river were-drowned on-the and after it
ἐπεὶ πάλιν τοὺς καταλειφθέντας Σκύθας πρὸς πόλεμον
since again the left Scythians to war
ὁρμῶντας ἑώρα, τοὺς ὑπ' αὐτὸν ἅπαντας τεθαρρηκότας
rushing he-saw those under him all having-taken-courage
κατανοήσας ὁπλίσασθαι παρεκελεύσατο. σιδηροφορήσας
having-perceived to-arm ordered having-armed-in-iron
δὲ καὶ αὐτὸς καὶ πολέμου σχῆμα διατυπώσας πρὸς τὸ
and also he and of-war form having-drawn to the
πρανὲς κάτεισιν. εἶτα δὴ τὰς φάλαγγας ἐπιστρέψας κατὰ
downward goes-down then indeed the phalanxes having-turned in

πρόσωπον τοῖς Σκύθαις ἵστατο, ἐφ' ᾧ τὸν μετ' αὐτῶν
face to-the Scythians stood for which the with them
ὡς ἐνὸν συνάψαι πόλεμον. αὐτὸς μὲν οὖν τὴν μέσην
as being-possible to-join war he indeed then the middle
τῶν ταγμάτων εἶχε χώραν· μάχης δὲ καρτερᾶς γενομένης
of-the units held place battle and strong having-happened
τὴν νικῶσαν τηνικαῦτα παρ' ἐλπίδας αἱ Ῥωμαϊκαὶ εἶχον
the victory then beyond hopes the Roman held
φάλαγγες καὶ ἐδίωκον τούτους ἀκρατῶς· ἐπεὶ δ' ἱκανὸν
phalanxes and pursued them headlong when and considerable
διάστημα τούτους ἑώρα διώκοντας ὁ αὐτοκράτωρ, δεδιὼς
distance them he-saw pursuing the autocrat fearing
μὴ λοχῶντές τινες αἰφνιδίως ἐπεισπεσόντες τοῖς Ῥωμαίοις
lest lying-in-ambush some suddenly having-fallen-upon the Romans
παλίντροπον τὴν τῶν Σκυθῶν φυγὴν ἀπεργάσωνται καὶ
turned-back the of-the Scythians flight might-make and
προστεθέντες τούτοις καὶ οἱ φεύγοντες μέγα τὸ δεινὸν τῇ
having-been-added to-them also the fleeing great the terror on-the
Ῥωμαϊκῇ στρατιᾷ ἐπάξωσιν, ἱππασίας πυκνὰς ποιούμενος
Roman army might-bring charges frequent making
ἀνασειράζειν τοὺς χαλινοὺς καὶ τοὺς ἵππους ἀναψύχειν
to-rein-in the bridles and the horses to-refresh
τοῖς στρατιώταις ἐκέλευεν. οὕτω γοῦν κατὰ τὴν ἡμέραν
the soldiers he-ordered thus at-any-rate on the day
ἐκείνην ἄμφω διαστήτην τὰ στρατεύματα. οἱ μὲν
that both separated the armies the(-ones) indeed
γὰρ φυγάδες, ὁ δὲ λαμπρὸς νικητὴς χαίρων πρὸς
for fugitives the(-other) and brilliant victor rejoicing to
τὴν ἰδίαν παρεμβολὴν ἐπάνεισιν. οἱ δὲ Σκύθαι κατὰ
the own camp returns the and Scythians by
κράτος ἡττηθέντες μεταξὺ τοῦ Βουλγαροφύγου καὶ τῆς
force defeated between — Boulgarophygon and the

μικρᾶς Νικαίας τὰς σκηνὰς ἐπήγνυντο. χειμῶνος δὲ ἤδη
Little Nicaea the tents pitched winter and already
ἐπικαταλαβόντος δεῖν ἔγνω ὁ αὐτοκράτωρ εἰς τὴν
having-come-on to-be-needful knew the autocrat to the
βασιλεύουσαν ἐπανελθεῖν, ἐφ᾽ ᾧ ἑαυτόν τε καὶ τὸ πλέον
reigning(-city) to-return for which himself both and the greater-part
τοῦ στρατοπέδου τῶν πολλῶν ἀγώνων ἐπανακτήσασθαι.
of-the army from-the many contests to-recover
διελόμενος οὖν τὰς δυνάμεις καὶ εἰς ἀντίπαλον μοῖραν
having-divided then the forces and into a-match portion
ἀποκρίνας, ὁπόσοι εὐψυχότεροι τοῦ παντὸς ἦσαν
having-separated as-many-as more-courageous of-the whole were
στρατεύματος, ἡγεμόνας τούτων τόν τε Ἰωαννάκην καὶ
army as-leaders of-them — both Ioannakes and
τὸν Μαυροκατακαλὼν Νικόλαον προὐβάλλετο, περὶ ὧν
— Maurokatakalon Nicholas he-put-forward about whom
πολλάκις φθάσας ὁ λόγος ἐδήλωσεν, ἐντειλάμενος αὐτοῖς
many-times having-been-first the account showed having-enjoined them
ἐν ἑκάστῳ μὲν τῶν πολιχνίων ἀποχρῶντας εἰσαγαγεῖν
in each indeed of-the little-towns sufficient to-put-in
στρατιώτας εἰς τὴν αὐτῶν φρουράν, πεζοὺς δὲ ἐξ ἁπάσης
soldiers for the their guard foot and from all
τῆς χώρας μετὰ ἁμαξῶν καὶ τῶν ταύτας ἑλκόντων βοῶν
the land with wagons and the them drawing oxen
ἐξελάσαι. βουλόμενος γὰρ ἔαρος ἐφισταμένου τῆς κατὰ
to-drive-out wishing for spring coming-on the against
τῶν Σκυθῶν καρτερώτερον ἀνθέξεσθαι μάχης προεμελέτα
the Scythians more-strongly to-hold-out battle he-planned
τε καὶ ηὐτρέπιζε τὰ συνοίσοντα. οὕτω γοῦν ἅπαντα
both and prepared the(-things) going-to-help thus at-any-rate all
διαθέμενος ἐπανέρχεται πρὸς τὸ Βυζάντιον.
having-arranged returns to — Byzantium

XXXV · CHOIROBAKCHOI

Hearing that a Scythian detachment is coming against Choirobakchoi, Alexios leaves the palace within a week with five hundred men, telling his kin to join him in Cheesefare week. He shuts himself in the town and watches from the walls. When six thousand Scythians scatter to forage as far as Dekaton, he attacks those left by the ridge and kills or captures them. Then, dressing his men in Scythian clothes, he waits by the river and takes the returning foragers by surprise.

Μεμαθηκὼς ὁ αὐτοκράτωρ, ὡς ἀπόμοιράν τινα οἱ τῶν
having-learned the autocrat that detachment some the of-the
Σκυθῶν ἡγεμόνες ἀπολεξάμενοι κατὰ τῶν Χοιροβάκχων
Scythians leaders having-selected against — Choirobakchoi
ἐξέπεμψαν καὶ προσδόκιμος ἡ τούτων ἄφιξις ἦν, ὁποῖος
sent-out and expected the their arrival was such
ἐκεῖνος θερμουργὸς περὶ τὰς ἐγχειρήσεις κἀν τοῖς αἰφνιδίοις
that-man hot-in-action about the undertakings and-in the sudden-things
ἀεὶ ὡς προπαρεσκευασμένος δεικνύμενος, μήπω ἑβδόμην
always as prepared-beforehand showing-himself not-yet (the)-seventh
ἡμέραν ἑαυτὸν ἐν τοῖς βασιλείοις διαναπαυσάμενος μηδὲ
day himself in the palace having-rested nor
βαλανείου τυχὼν μηδὲ τὸν ἐκ τοῦ πολέμου κονιορτὸν
bath having-obtained nor the from the war dust
ἀποτιναξάμενος παραχρῆμα τοὺς ἐπὶ τῆς φρουρᾶς τῆς
having-shaken-off immediately those on the guard of-the
πόλεως τεταγμένους καὶ ὁπόσοι νεόλεκτοι ἀναλαμβάνεται
city stationed and as-many-as newly-enlisted takes
ὡσεὶ πεντακοσίους τὸν ἀριθμὸν καὶ ὁπλίσας δι᾽
about five-hundred the number and having-armed through
ὅλης νυκτὸς κατὰ τὸ περίορθρον ἔξεισι. τηνικαῦτα δὲ
whole night at the early-dawn goes-out then and

δήλην καθίστησι τὴν αὐτοῦ πρὸς τοὺς Σκύθας ἐξέλευσιν
plain makes the his against the Scythians departure
τοῖς τε ἐξ αἵματος καὶ ἀγχιστείας προσήκουσιν αὐτῷ
to-the both by blood and marriage related to-him
συγγενέσι καὶ τοῖς ἄλλοις, ὁπόσοι τῆς μείζονος τύχης
kinsmen and to-the others as-many-as of-the greater fortune
ἦσαν καὶ τῷ στρατιωτικῷ συντάγματι συγκατειλεγμένοι
were and in-the military body enrolled
(παρασκευὴ δὲ ἦν ἡ τῆς ἀπόκρεω) ταυτὶ διὰ τῶν
Friday and it-was the of-the Meatfare this-here through the
ἀποστολέων παρακελευσάμενος ὡς ἄρα γοῦν "ἐγὼ μὲν
messengers having-ordered that after-all at-any-rate I indeed
ἄπειμι τὴν τῶν Σκυθῶν κατὰ τῶν Χοιροβάκχων ὀξεῖαν
go-away the of-the Scythians against — Choirobakchoi swift
μεμαθηκὼς κίνησιν, ὑμεῖς δὲ ἀλλὰ κατὰ τὴν ἑβδομάδα τῆς
having-learned movement you and but in the week of-the
τυροφάγου στρατεύσατε πρὸς ἡμᾶς. τὰς γὰρ μεταξὺ τῆς
Cheesefare march to us the for between the
τε παρασκευῆς τῆς ἀπόκρεω καὶ τῆς τυροφάγου δευτέρας
both Friday of-the Meatfare and of-the Cheesefare second
ἡμέρας ὑμῖν ἐφίημι εἰς μικράν τινα ῥᾳστώνην, ὡς μὴ
day to-you I-grant for small some relief so-that not
βαρύς τις καὶ ἀδιάκριτος δόξαιμι." ἐκεῖνος μὲν οὖν
burdensome someone and indiscriminate I-might-seem that-man indeed then
παραχρῆμα κατευθὺ Χοιροβάκχων ἤλαυνε καὶ εἰσελθὼν
immediately straight-for Choirobakchoi drove and having-entered
κλείει τὰς πύλας· τὰς δὲ κλεῖς αὐτὸς ἀναλαμβάνεται. εἶτα
shuts the gates the and keys he takes then
τοὺς εὔνους ἅπαντας τῶν θεραπόντων περὶ τὰ κρήδεμνα
the loyal all of-the servants about the battlements
καθίστησι τοῦ τείχους παραγγείλας μὴ ἀναπεπτωκέναι,
sets of-the wall having-ordered not to-slacken

ἀλλ᾽ ἐπαγρυπνοῦντας περιαθρεῖν τὰ τείχη, μή πού
but keeping-awake to-survey the walls lest somewhere
τις ἀνελθὼν καὶ προκύψας ὁμιλήσειε τοῖς Σκύθαις.
anyone having-gone-up and having-leaned-out might-converse with-the Scythians
ἀνίσχοντος δὲ τοῦ ἡλίου καὶ οἱ ἐλπιζόμενοι τῶν Σκυθῶν
rising and the sun also the expected of-the Scythians
καταλαβόντες κατὰ τὸν συγκεκολλημένον τῷ τείχει
having-arrived at the joined to-the wall
τῶν Χοιροβάκχων αὐχένα ἔστησαν. ἐξ ὧν τηνικαῦτα
of-the Choirobakchoi ridge stood from whom then
ἀποκριθέντες ὡσεὶ ἓξ χιλιάδες εἰς προνομὴν διεσκεδάσθησαν
having-separated about six thousands for foraging scattered
ἐφθακότες μέχρις αὐτοῦ Δεκάτου ὡσεὶ δέκα σταδίους τῶν
having-reached as-far-as itself Dekaton about ten stades from-the
τειχῶν ἀπέχοντος τῆς βασιλίδος τῶν πόλεων· ἐξ οὗ
walls distant of-the queen of-the cities from which
οἶμαι καὶ τὴν ἐπωνυμίαν ἐκτήσατο. οἱ δὲ λοιποὶ αὐτοῦ
I-think also the name it-acquired the and rest there
που διαμεμενήκεσαν. ὁ δὲ βασιλεὺς ἀνελθὼν διὰ
somewhere remained the and emperor having-gone-up through
τοῦ τείχους εἰς τὰς ἐπάλξεις περιεσκόπει τὰς πεδιάδας
the wall onto the parapets surveyed the plains
καὶ τοὺς βουνούς, εἴ που καὶ ἑτέρα δύναμις τούτοις
and the hills whether somewhere also another force on-them
ἔπεισιν ἢ εἴ που λόχους καθίσαντες μελετῶσι τὸν
comes-on or whether somewhere ambushes having-set they-plan the(-one)
τούτοις ἴσως προσβαλεῖν ἐπιχειρήσοντα κατασχεῖν. ὡς δ᾽
on-them perhaps to-attack going-to-attempt to-seize as and
οὐδέν τι τοιοῦτον ἐθεάσατο, περὶ δευτέραν τῆς ἡμέρας
nothing any such he-saw about second of-the day
ὥραν ὁρᾷ τούτους οὐ πρὸς μάχην ἠὐτρεπισμένους, ἀλλὰ
hour he-sees them not for battle prepared but

πρὸς τροφὴν καὶ ἀνάπαυσιν ἀποκλίναντας· πλῆθος δὲ
to food and rest having-turned multitude and
πολὺ τούτους ὁρῶν καὶ τοῦ μετ᾽ αὐτῶν κατασυστάδην
great them seeing and the with them in-close-combat
μὴ κατατολμῶν πολέμου ἐν δεινῷ ἐποιεῖτο, εἰ τὴν
not daring war in danger he-considered-it if the
ἅπασαν λῃσάμενοι χώραν καὶ αὐτοῖς τοῖς τείχεσι τῆς
whole having-plundered land also to-the-very the walls of-the
βασιλευούσης τῶν πόλεων προσπελάσαιεν καὶ ταῦτα αὐτοῦ
reigning of-the cities they-should-approach and this him
ἐκεῖθεν ἐξεληλυθότος ἐφ᾽ ᾧ τούτους ἀποσοβῆσαι
from-there having-gone-out for which-purpose them to-scare-off
τῆς χώρας. μετακαλεσάμενος οὖν τηνικαῦτα τοὺς ὑπ᾽
from-the land having-summoned then at-that-time the under
αὐτὸν στρατιώτας καὶ τὴν γνώμην αὐτῶν δοκιμάσαι
him soldiers and the mind their to-test
βουλόμενος ἔφη "οὐ χρὴ ἀποδειλιᾶν πρὸς τὸ πλῆθος
wishing he-said not it-is-needful to-be-cowardly at the multitude
τῶν Σκυθῶν ἀφορῶντας, ἀλλ᾽ εἰς θεὸν ἠλπικότας τὸν μετ᾽
of-the Scythians looking but in God having-hoped the with
αὐτῶν συνάψαι πόλεμον, καὶ εἰ μόνον ὁμογνωμονήσαιμεν,
them to-join war and if only we-should-be-of-one-mind
πέποιθα ὡς ἡττήσομεν αὐτοὺς κατὰ κράτος". τῶν δὲ
I-am-confident that we-shall-defeat them by force they and
ἀπαναινομένων πάντῃ καὶ πρὸς τὸν λόγον ἀναβαλλομένων
refusing wholly and at the word putting-off
ἐκεῖνος εἰς φόβον ἐμβάλλων πλείονα τοὺς αὐτοῦ καὶ
that-man into fear throwing more those his and
ἀνεγείρων εἰς κίνδυνόν φησιν "ἐὰν οἱ εἰς προνομὴν
rousing to danger says if those for foraging
ἀπελθόντες ἐπανέλθοιεν αὖθις καὶ μετὰ τῶν παρόντων
having-gone-away should-return again and with those present

ἑνωθεῖεν, προῦπτος ὁ κίνδυνος. ἢ γὰρ καὶ τὸ κάστρον
be-united foreseen the danger either for also the fortress
παρ᾽ αὐτῶν κατασχεθήσεται καὶ ἡμεῖς παρανάλωμα φόνου
by them will-be-seized and we a-casualty of-slaughter
γενησόμεθα ἢ παρ᾽ οὐδὲν ἡμᾶς λογισάμενοι ἴσως τοῖς
we-shall-become or for nothing us having-reckoned perhaps to-the
τείχεσι τῆς πόλεως προσπελάσαντες οὐκ ἐγχωρήσουσιν
walls of-the city having-approached not they-will-allow
ἡμῖν εἰς τὴν βασιλίδα πόλιν εἰσελθεῖν αὐτοῦ που περὶ
us into the queen city to-enter there somewhere about
τὰς πύλας αὐτῆς αὐλισάμενοι. λοιπὸν κινδυνεῦσαι ἡμᾶς χρὴ
the gates of-it having-camped for-the-rest to-run-risk we must
καὶ μὴ ἀνάνδρως ἀποθανεῖν. ἐγὼ μὲν οὖν ἤδη ἔξειμι καὶ
and not unmanfully to-die I indeed then now go-out and
ὁπόσοι βούλεσθε, προεκδραμόντος ἐμοῦ καὶ ἐς μέσον τῶν
as-many-as wish having-run-out-first me and into the-midst of-the
Σκυθῶν εἰσπηδήσαντος συνέψεσθε, ὁπόσοι δὲ τοῦτο οὐ
Scythians having-leapt you-will-follow as-many-as and this not
δύνασθε ἢ οὐ βούλεσθε, μηδὲ τῶν πυλῶν ἐκτὸς γένοισθε.”
can or not wish not-even of-the gates outside may-you-come
παραχρῆμα γοῦν διὰ τῆς ἀπονενευκυίας ὡς πρὸς τὴν
immediately at-any-rate through the turning as toward the
λίμνην πύλης ὁπλισάμενος ἔξεισι. καὶ παραδραμὼν τὰ τείχη
lake gate having-armed goes-out and having-run-past the walls
καὶ μικρὸν παρεγκλίνας ἐξ ὀπισθίων τοῦ αὐχένος ἄνεισιν.
and a-little having-turned-aside from behind the ridge goes-up
οὐδὲ γὰρ συνέψεσθαι τούτῳ διέγνω τοὺς μετ᾽ αὐτοῦ πρὸς
not-even for to-follow him he-judged those with him to
τὸν κατασυστάδην μετὰ τῶν Σκυθῶν πόλεμον. καὶ πρῶτος
the in-close-combat with the Scythians war and first
αὐτὸς δόρυ σπασάμενος ἐς μέσους Σκύθας ἑαυτὸν ὤθησε
he a-spear having-drawn into the-midst Scythians himself thrust

παίσας τὸν πρώτως αὐτῷ ὑπαντιάσαντα. ἀλλ' οὐδ' οἱ
having-struck the first him meeting but not-even the
σὺν αὐτῷ στρατιῶται τῆς μάχης ἀπελείφθησαν κἀντεῦθεν
with him soldiers from-the battle were-left-behind and-thence
τοὺς μὲν πλείους ἔκτειναν, τοὺς δὲ καὶ ζωγρίαν ἦγον.
the indeed most they-killed others and also alive led
εἶτα ὁποῖα ἐκεῖνος μηχανᾶσθαι εἰώθει, τὰς τῶν Σκυθῶν
then such-things that-man to-contrive was-wont the of-the Scythians
ἐσθῆτας τοὺς στρατιώτας ἀμφιέννυσι καὶ τῶν Σκυθικῶν
clothes the soldiers he-clothes and on-the Scythian
ἵππων ἐπιβῆναι κελεύει, τοὺς δὲ ἵππους τῶν στρατιωτῶν
horses to-mount orders the and horses of-the soldiers
καὶ τὰς τούτων σημαίας καὶ τὰς ἀποτμηθείσας τῶν
and the their standards and the cut-off of-the
Σκυθῶν κεφαλὰς παραδούς τισι τῶν εὐνουστέρων
Scythians heads having-handed-over to-some of-the more-loyal
παραλαβόντας προσέταξεν εἴσω τοῦ κάστρου γενέσθαι
having-taken-them ordered inside the fortress to-be
ἀπεκδεχομένους αὐτόν. ταῦτα τοίνυν οὕτως οἰκονομήσας
awaiting him these(-things) therefore thus having-arranged
ἐκεῖνος μετὰ τῶν Σκυθικῶν σημαιῶν καὶ τῶν τὰ Σκυθικὰ
that-man with the Scythian standards and the the Scythian
ἀμφία περιβεβλημένων στρατιωτῶν κάτεισιν ὡς πρὸς τὸν
garments having-put-on soldiers goes-down as toward the
ἀγχοῦ Χοιροβάκχων ῥέοντα ποταμόν, ὅπου καὶ τοὺς ἀπὸ
near Choirobakchoi flowing river where also the from
τῆς προνομῆς ὑποστρέφοντας Σκύθας ἐνόμιζε διελθεῖν.
the foraging returning Scythians he-thought to-pass-through
οἱ δὲ προνομεῖς ἐκεῖνοι θεασάμενοι τούτους ἱσταμένους
the and foragers those having-beheld them standing
ἐκεῖσε καὶ νομίσαντες Σκύθας καὶ αὐτοὺς εἶναι ἀφυλάκτως
there and having-thought Scythians also them to-be unguardedly

τούτοις προσπίπτοντες οἱ μὲν ἀνῃροῦντο, ἄλλοι δὲ καὶ
on-them falling-upon some indeed were-killed others and also
κατείχοντο.
were-held

XXXVI · THE DISGUISED ARMY

Alexios marches back with the Scythian standards and severed heads in front and his own men behind. Palaiologos, riding out ahead of the kinsmen, hears from his scouts of Scythians with Roman standards behind them and at once recognizes one of Alexios' devices. The kinsmen, who had come too late for the battle, hardly believe that the emperor won so quickly until they see the heads on spears. Palaiologos regrets missing the glory of the victory. Anna applies the song of Deuteronomy, where one man chases a thousand.

Ἑσπέρας δὲ καταλαβούσης (σάββατον δὲ ἦν) ἐπανέρχεται
evening and having-come Saturday and it-was he-returns
μετὰ τῶν δορυαλώτων. καρτερήσας δὲ καὶ τὴν ἐπιοῦσαν
with the spear-captives having-held-out and also the following
αὐγαζούσης ἤδη τῆς δευτέρας ἐξῆλθε τοῦ κάστρου καὶ
dawning already the second-day he-went-out from-the fortress and
διελὼν τοὺς ὑπ' αὐτὸν ἔμπροσθεν μὲν εἰσήγαγε τοὺς
having-divided those under him in-front indeed he-put those
τὰς τῶν Σκυθῶν σημαίας κατέχοντας, ὄπισθεν δὲ τοὺς
the of-the Scythians standards holding behind and the
δορυαλώτους τῶν Σκυθῶν, παρὰ χωριτῶν ἕκαστον τούτων
spear-captives of-the Scythians by villagers each of-them
κατεχομένους· τὰς δὲ ἀποτμηθείσας κεφαλὰς δόρασι
held the and cut-off heads on-spears
περιπείρας παρ' ἑτέρων αὖθις ἐν τούτοις ἀπαιωρουμένας
having-fixed by others again on them being-hung-up

παρεκελεύσατο οὕτως τὴν ὁδοιπορίαν ποιεῖσθαι. τούτων δὲ
he-ordered thus the march to-make them and
ὄπισθεν ἐκ διαστήματος μετρίου ἀπέχων μετὰ τῶν ὑπ᾽
behind at a-distance moderate being-distant with those under
αὐτὸν καὶ τῶν συνήθων τοῖς Ῥωμαίοις σημαιῶν ἑπόμενος
him and the customary for-the Romans standards following
ἦν. αὐγαζούσης δὲ τῆς ἀπόκρεω κυριακῆς ὁ Παλαιολόγος
he-was dawning and the Meatfare Sunday — Palaiologos
θερμουργὸς ὢν περὶ τὰς πολεμικὰς πράξεις πρὸ τῶν
hot-in-action being about the warlike deeds before the
ἄλλων ἐξεληλύθει τοῦ Βυζαντίου. τὸ δὲ ὀξύρροπον τῶν
others had-gone-out — from-Byzantium the and swift-turning of-the
Σκυθῶν ἐπιστάμενος οὐκ ἀπερισκέπτως τὴν ὁδοιπορίαν
Scythians knowing not carelessly the march
ἐποιεῖτο, ἀλλ᾽ ἀποδιελὼν τῶν συνεφεπομένων αὐτῷ
made but having-separated of-the following him
θεραπόντων ὀλίγους παρεκελεύσατο αὐτοῦ προεκτρέχειν
servants few ordered of-him to-run-ahead
διάστημα καὶ τὰς πεδιάδας καὶ τὰ ἄλση καὶ τὰς
a-distance and the plains and the groves and the
ὁδοὺς περιαθρεῖν, ἵν᾽ εἴ πού τινες τῶν Σκυθῶν
roads to-survey that if somewhere any of-the Scythians
ἀναφανεῖεν, ταχὺ ὑποστρέψαντες ἀπαγγείλωσιν αὐτῷ. οὕτω
should-appear quickly having-returned they-might-report to-him thus
γοῦν πορευόμενοι, ἐπεὶ κατὰ τὴν πεδιάδα τὴν οὕτω
at-any-rate going when on the plain the so
καλουμένην Διμυλίαν τοὺς τὰ Σκυθικὰ περιβεβλημένους
called Dimylia those the Scythian having-put-on
ἀμφία καὶ Σκυθικὰς σημαίας ἐθεάσαντο, εἰς τοὐπίσω
garments and Scythian standards they-saw to the-rear
ἀναστρέψαντες τοὺς Σκύθας ἤδη καταλαμβάνειν ἔφασαν.
having-turned-back the Scythians already to-be-arriving said

ὁ δὲ παραχρῆμα ἐν τοῖς ὅπλοις ἦν. κατὰ πόδας δὲ καὶ
he and immediately in the arms was at heels and also
ἕτερος ἐλθὼν διενίστατο λέγων, ὡς ὄπισθεν τῶν τάχα
another having-come affirmed saying that behind the perhaps
Σκυθῶν ἐξ ἱκανοῦ διαστήματος Ῥωμαϊκαὶ ἀνεφάνησαν
Scythians from considerable distance Roman appeared
σημαῖαι καὶ στρατιῶται κατόπιν θέοντες. οἱ μὲν οὖν
standards and soldiers behind running they indeed then
ταῦτα ἀπαγγέλλοντες τὸ μέν τι καὶ ἐστοχάζοντο
these(-things) announcing partly indeed somewhat also guessed
τῆς ἀληθείας, τὸ δὲ καὶ παρεστοχάζοντο. τὸ μὲν γὰρ
the truth partly and also missed the indeed for
κατόπιν ἐλαῦνον στράτευμα ὡς ἀληθῶς καὶ Ῥωμαϊκὸν
behind driving army as truly also Roman
ἦν καὶ τοῖς σχήμασι καὶ τοῖς πράγμασι καὶ ὁ βασιλεὺς
was both in-the forms and in-the deeds and the emperor
αὐτῶν ἡγεμόνευε, τὸ δὲ προπορευόμενον καὶ Σκυθικῶς
them led the and going-ahead and Scythian-fashion
ἐσταλμένον τῆς Ῥωμαϊκῆς μὲν ἦσαν ἅπαντες στρατιᾶς,
equipped of-the Roman indeed were all army
Σκυθικὰς δὲ στολὰς ἠμφιέννυντο, τοῦτο μὲν καὶ οὕτως
Scythian and robes wore this indeed also thus
ἐσχηκότες, ὥσπερ ἦσαν ἀμφιασάμενοι ταύτας κατὰ
having-had as they-were having-put-on them according-to
τὸ τοῦ αὐτοκράτορος παράγγελμα, ὁπόταν ὡς φαινόμενοι
the of-the autocrat order when as appearing
Σκύθαι τοὺς ὄντως Σκύθας ἐξηπατήκασιν, ὡς φθάσας
Scythians the real Scythians they-have-deceived as having-been-first
ὁ λόγος ἐδήλωσε, τοῦτο δὲ καὶ ἀπεχρήσατο τηνικαῦτα ὁ
the account showed this and also used then the
βασιλεὺς τῇ σκευῇ τῶν Σκυθῶν πρὸς τὴν τῶν ἡμεδαπῶν
emperor the gear of-the Scythians for the of-the our-people

ἐξαπάτην τε καὶ φενάκην, ἵνα οἱ προεντυγχάνοντες
deception both and trickery that those meeting-first
αὐτοῖς ὀρρωδοῖεν ὥσπερ Σκύθαις τοῖς στρατιώταις
them might-be-frightened as-if on-Scythians on-the soldiers
ἡμῶν ἐμπίπτοντες καὶ ἅμα παρέχοι στρατηγικόν
our falling and at-the-same-time might-provide generalship-like
τε καὶ ἥπιον γέλωτα φόβῳ ξυμμεμιγμένον· πρὶν ἢ
both and gentle laughter with-fear mixed before than
γὰρ φοβηθῆναι σαφῶς, ἐθάρρουν τὸν βασιλέα κατόπιν
for to-be-frightened clearly they-took-courage the emperor behind
θεώμενοι. οὕτως ἀφόβως ὁ αὐτοκράτωρ τοὺς ὑπαντῶντας
seeing thus fearlessly the autocrat those meeting
ἐμορμολύττετο. ἀλλὰ πρὸς μὲν τοὺς ἄλλους ὁ φόβος ἦν
frightened but to indeed the others the fear was
ἐκ τῶν φαινομένων, ὁ δέ γε Παλαιολόγος πολυπειρίᾳ
from the appearances — and at-least Palaiologos in-much-experience
τοὺς ἅπαντας ὑπερβάλλων καὶ εἰδώς, ὁποῖός ἐστιν
the all surpassing and knowing of-what-sort is
Ἀλέξιος περὶ τὰς μηχανὰς ποριμώτατος, ἐγνώρισεν αὐτίκα,
Alexios about the devices most-resourceful recognized at-once
ὅτι Ἀλεξίου τοῦτο μηχάνημα, καὶ ἑαυτόν τε θαρρεῖν
that of-Alexios this device and himself both to-take-courage
ἀνέπειθε καὶ τοὺς ἄλλους ἐκέλευεν. ἤδη δὲ καὶ τὸ πλῆθος
persuaded and the others ordered already and also the multitude
ἅπαν τὸ κατόπιν συνέρρωγεν ἐκ τῶν συγγενῶν καὶ τῶν
all the behind had-burst-together from the kinsmen and those
καθ᾽ αἷμα προσηκόντων ξυγκείμενον. ἔσπευδον γάρ, ὡς
by blood related composed they-hastened for as
ᾤοντο, φθάσαι τὸν αὐτοκράτορα κατὰ τὰ πρὸς
they-thought to-overtake the autocrat according-to the(-things) with
τοῦτον συγκείμενα. φθάσαι γὰρ τοῦτον συνέθεντο μετὰ τὴν
him agreed to-overtake for him they-had-agreed after the

ἀπόκρεω, καθάπερ εἴρηται πρότερον, ἐν τῇ τυροφάγῳ. οὐ
Meatfare as has-been-said before in the Cheesefare not
μὴν ἔφθησαν ἐκεῖνοι ἐξεληλυθότες τῆς πόλεως καὶ ὁ
indeed they-had-been-first those having-gone-out from-the city and the
βασιλεὺς τροπαιοῦχος ἐπάνεισι. καὶ κατὰ τοῦτο συμμίξαντες
emperor trophy-bearing returns and on this having-met
αὐτῷ οὐκ ἂν ἐπείσθησαν, ὅτι ὁ βασιλεὺς αὐτός ἐστι
him not — would-have-believed that the emperor himself is
τροπαιοφορῶν οὕτω τὴν νίκην ὀξέως ἐξεργασάμενος, εἰ
bearing-trophies thus the victory swiftly having-accomplished if
μὴ τὰς κεφαλὰς τῶν Σκυθῶν ἐμπεπηγμένας ἑώρων ἐπ᾽
not the heads of-the Scythians fixed they-saw on
ἄκρων δοράτων καὶ τοὺς ἐπιλοίπους, οὓς τὸ ξίφος οὔπω
tips of-spears and the remaining whom the sword not-yet
ἐξέτεμε, δεσμώτας ἠγμένους καὶ ἐξηγκωνισμένους καὶ
had-cut-off as-prisoners led and with-arms-bound and
ἄλλον ἐπ᾽ ἄλλῳ ἀγόμενον καὶ συρόμενον. τὸ γὰρ τάχος
one upon another led and dragged the for speed
τῆς στρατηγίας τὸ θαῦμα ἐποίει· πλὴν τοσοῦτον μανθάνω
of-the generalship the wonder made except so-much I-learn
περὶ Γεωργίου τοῦ Παλαιολόγου (οἱ γὰρ συμπαρόντες
about George the Palaiologos those for present-with
ἡμῖν διηγοῦντο), ὡς ἐσχετλίαζέ τε καὶ τοῦ καθυστερῆσαι
us narrated that he-complained both and for-the to-have-come-late
τοῦ πολέμου ἑαυτὸν ἐμέμφετο καὶ ὅτι μὴ συμπαρῆν τῷ
to-the war himself blamed and that not he-was-present-with the
αὐτοκράτορι κλέος τοσοῦτον ἀραμένῳ ἐπὶ τῇ ἀπροσδοκήτῳ
autocrat glory so-great having-won for the unexpected
νίκῃ τῶν βαρβάρων τούτων. συμμετασχεῖν γὰρ κἀκεῖνος
victory over-the barbarians these to-share for also-that-man
εὐκλείας τοσαύτης καὶ πάνυ ἐβούλετο. περὶ δὲ τοῦ
of-glory so-great and very wished about and the

αὐτοκράτορος ἐκεῖνο ἄν τις εἴποι τὸ ᾄσμα τοῦ
autocrat that — anyone would-say the song of-the
Δευτερονομίου τότε καὶ τελούμενον καὶ ὁρώμενον "πῶς
Deuteronomy then both being-fulfilled and being-seen how
διώξεται εἷς χιλίους καὶ δύο μετακινήσουσι μυριάδας;"
will-pursue one a-thousand and two will-move ten-thousands
μονονουχὶ γὰρ κατ' ἐκεῖνο καιροῦ ὁ βασιλεὺς Ἀλέξιος
all-but for at that of-the-time the emperor Alexios
πρὸς τοσοῦτον βαρβάρων πλῆθος ἑαυτὸν ἀντικαταστήσας
against so-great of-barbarians multitude himself having-set-against
τὸ βάρος ὅλον τοῦ πολέμου μέχρι καὶ τῆς νίκης
the weight whole of-the war up-to even the victory
αὐτῆς καλῶς διῳκονομήσατο. εἰ γάρ τις τοὺς συνόντας
itself well managed if for anyone those with-him
λογίσαιτο, ὁπόσοι τε ἦσαν καὶ ποδαποί, κἄθ' οὕτως
should-reckon how-many both they-were and of-what-country and-then thus
ἀντιπαραβάλοι τὰ τοῦ αὐτοκράτορος μηχανήματα καὶ τὸ
should-compare the of-the autocrat devices and the
τούτου πολύτροπον μετὰ τῆς ῥώμης καὶ τῆς τόλμης πρὸς
his versatility with the strength and the daring against
τὸ βαρβαρικὸν ἅπαν πλῆθος καὶ τὴν ἰσχύν, μόνον ἂν
the barbarian whole multitude and the might alone —
ἐφεύροι τοῦτον τὰ τῆς νίκης καταπραξάμενον.
he-would-find him the(-things) of-the victory having-accomplished

The city rejoices, though Melissenos calls the victory a joy without profit. The Scythians plunder the west to the Deep Stream, where the faithful can no longer visit Saint Theodore's church. Tzachas builds another fleet and urges the Scythians to seize the Chersonese, and tries to lure away the Turkish mercenaries. After an unprecedented snowfall, Alexios summons Melissenos to Ainos with new levies of Bulgarians and Vlachs. He surveys the river from a boat and camps the army at Choirenoi, between the river and a marsh.

Οὕτω μὲν οὖν τηνικαῦτα θεὸς τὴν παράδοξον ταύτην τῷ
thus indeed then at-that-time God the unexpected this to-the
κρατοῦντι δέδωκε νίκην. εἰσερχόμενον δὲ αὐτὸν ὁρῶντες
ruler gave victory entering and him seeing
οἱ Βυζάντιοι ἔχαιρον ἐκπληττόμενοι τὸ τάχος, τὴν τόλμαν,
the Byzantines rejoiced astounded-at the speed the daring
τὴν περιδεξιότητα τοῦ ἐπιχειρήματος καὶ τὸ ἐξ ὑπογύου
the dexterity of-the undertaking and the from improvised
τρόπαιον, ἐπαιάνιζον, ἐσκίρτων, θεὸν ἀνύμνουν σωτῆρα καὶ
trophy sang-paeans leapt God hymned as-savior and
εὐεργέτην τοιοῦτον αὐτοῖς δεδωκότα. ὁ δὲ Μελισσηνὸς
benefactor such to-them having-given — and Melissenos
Νικηφόρος δακνόμενος ἐπὶ τούτοις καὶ μὴ φέρων, ὁποῖα
Nikephoros being-stung at these-things and not bearing such-as
τὰ ἀνθρώπινα, ἔφη "ἡ νίκη αὕτη χαρὰ μὲν ἀκερδής,
the human-things he-said the victory this a-joy indeed without-profit
λύπη δὲ ἀζήμιος". οἱ μέντοι Σκύθαι ἀπειροπληθεῖς ὄντες
a-grief and without-loss the however Scythians infinitely-numerous being
ἁπανταχοῦ τῆς ἑσπέρας διασπαρέντες ἐλῄζοντο ἅπαντα
everywhere of-the west scattered plundered all
καὶ οὐδὲν τὸ παράπαν τῶν συμπεσόντων αὐτοῖς
and nothing the at-all of-the(-things) befalling them

τὴν ἐκείνων ἀκάθεκτον ἀνέκοπτε τόλμαν. ἐνιαχοῦ δὲ
the their unrestrainable checked daring in-some-places and
τῆς ἑσπέρας καὶ πολίχνιά τινα κατεῖχον μηδὲ τῶν
of-the west also little-towns some they-held not-even the
ἀγχοῦ τῆς βασιλίδος τῶν πόλεων κωμοπόλεων φειδόμενοι,
near the queen of-the cities country-towns sparing
παραγενόμενοι καὶ μέχρις αὐτοῦ τοῦ οὕτω καλουμένου
having-come even as-far-as itself the so called
Βαθέος ῥύακος, ἐν ᾧ καὶ τὸ ἐπ᾽ ὀνόματι τοῦ ἐν
Deep Stream at which also the in name of-the among
μάρτυσι μεγίστου Θεοδώρου τέμενος ἵδρυται. πολλοὶ μὲν
martyrs greatest Theodore precinct is-founded many indeed
γὰρ καὶ ἐφοίτων ἐντεύξεως τοῦ ἁγίου χάριν καθ᾽
for even went of-meeting the saint for-the-sake by
ἑκάστην· ὁπηνίκα δ᾽ ἡ κυριακὴ παρῆν, πάνδημον οἱ
each(-day) when and the Sunday was-present all-the-people the
εὐσεβεῖς ἐποιοῦντο τὴν πρὸς τὸ ἱερὸν τοῦτο τέμενος
pious made the to the sacred this precinct
ἔλευσιν παννύχιοι καὶ πανημέριοι κύκλῳ τε καὶ κατὰ
coming all-night and all-day in-a-circle both and along
τὸν πρόδομον καὶ ὀπισθόδομον τοῦ νεὼ προσμένοντες.
the vestibule and back-chamber of-the church staying
ἀλλὰ τοσοῦτον ὑπερίσχυσεν ἡ τῶν Σκυθῶν ἀκάθεκτος
but so-much prevailed the of-the Scythians unrestrainable
ὁρμή, ὡς μηδὲ τὰς πύλας ὑπανοῖξαι τοῦ Βυζαντίου
onset so-that not-even the gates to-open — of-Byzantium
τολμᾶν τοὺς εἰς τὸν μάρτυρα φοιτᾶν βουλομένους διὰ
to-dare those to the martyr to-go wishing because-of
τὰς ἀθρόας ἐφόδους τῶν Σκυθῶν. ἀλλὰ ταῦτα μὲν τὰ
the massed attacks of-the Scythians but these(-things) indeed the
ἐξ ἠπείρου τῆς ἑσπέρας προσπεσόντα τῷ αὐτοκράτορι
from mainland of-the west having-befallen the autocrat

δεινά· οὐ μέντοι γε οὐδὲ τὰ κατὰ θάλατταν
terrors not however at-least nor the(-affairs) at sea
ἀνέτως εἶχεν, ἀλλὰ καὶ λίαν ἐπικινδύνως τοῦ Τζαχᾶ αὖθις
at-ease were but also very dangerously — Tzachas again
στόλον κτησαμένου καὶ τὰ παρὰ θάλατταν ἅπαντα
a-fleet having-acquired and the(-places) by sea all
κατατρέχοντος. ἐπὶ τούτοις οὖν ὁ βασιλεὺς ἠνιᾶτο καὶ
overrunning at these-things then the emperor was-grieved and
ἤσχαλλεν ἀπανταχόθεν βαλλόμενος ταῖς φροντίσιν. ἐπεὶ
was-vexed from-everywhere pelted with-the cares since
δ' ἀνηγγέλη τούτῳ, ὡς ἤδη καὶ πλείονα στόλον ἐκ
and it-was-announced to-him that already also larger fleet from
τῶν παραλίων κτησάμενος ὁ Τζαχᾶς καὶ τὰς ἐπιλοίπους,
the coastal-places having-acquired — Tzachas and the remaining
ὧν προφθάσας κατέσχε νήσων, πορθήσας καὶ κατὰ
of-which beforehand he-held islands having-sacked also against
τῶν ἑσπερίων χωρῶν διανοεῖσθαι ἐπικεχείρηκε καὶ πρὸς
the western lands to-think had-attempted and to
τοὺς Σκύθας διαπεμπόμενος συνεβούλευε τὴν Χερρόνησον
the Scythians sending advised the Chersonese
καταλαβεῖν· οὐ μὴν οὐδὲ τὸ ἐκ τῆς ἑῴας προσεληλυθὸς
to-seize not indeed nor the from the east having-come
τῷ αὐτοκράτορι μισθοφορικόν, τῶν Τούρκων φημί,
to-the autocrat mercenary-force of-the Turks I-mean
συνεχώρει τὰς πρὸς αὐτὸν σπονδὰς ἀρραγεῖς τηρεῖν
he-allowed the to him treaties unbroken to-keep
ὑποσχέσεσι χρησταῖς ὑποσαίνων, εἰ τὸν αὐτοκράτορα
with-promises good fawning if the autocrat
καταλιπόντες αὐτῷ προσχωρήσαιεν, ὁπηνίκα τὰς κριθὰς
having-left to-him they-should-go-over when the barley
καταλάβοι· ταῦτα γνοὺς ὁ βασιλεύς, ἐπεὶ τά
it-should-reach these(-things) having-known the emperor since the(-things)

τε κατὰ θάλατταν τά τε κατὰ τὴν ἤπειρον λίαν
both at sea the(-things) both on the mainland very
κακῶς αὐτῷ διετίθετο καὶ ὁ χειμὼν σφοδρῶς ἐπικείμενος
badly for-him were-disposed and the winter violently pressing
τὰς ἐξόδους παντάπασιν ἔκλειεν, ὥστε μηδ' ἀποζυγοῦσθαι
the exits entirely shut so-that not-even to-be-unbarred
τὰς τῶν οἰκημάτων θύρας διὰ τὸ τῆς χιόνος ἐπιβριθές
the of-the dwellings doors because-of the of-the snow weight
(συνέβη γὰρ τότε πολλὴν ἐπιφορηθῆναι καὶ ὅσην οὐδείς
it-happened for then much to-fall and as-much-as no-one
πω πρότερον ἔγνωκεν), ὡς ἐνὸν διὰ γραμμάτων
ever before knew as being-possible through letters
ἁπανταχόθεν ἔσπευδε μισθοφορικὸν μετακαλέσασθαι. τοῦ
from-everywhere he-hastened mercenary-force to-summon the
ἡλίου δὲ τὴν ἐαρινὴν τροπὴν ἀπάρτι καταλαμβάνοντος,
sun and the vernal turning by-now reaching
ἐπεὶ καὶ ὁ ἐκ τῶν νεφῶν ἀπειλούμενος πόλεμος ᾤχετο
since also the from the clouds threatened war went
καὶ ἡ θάλαττα τοῦ θυμοῦ μετεβέβλητο, δεῖν
and the sea from-the anger had-changed to-be-needful
ἐλογίσατο ἑκατέρωθεν τῶν ἐναντίων ἐπικειμένων τὰ
he-reckoned on-both-sides the opponents pressing the(-parts)
κατὰ θάλατταν μᾶλλον καταλαβεῖν, ἵν' ὁμοῦ καὶ τοῖς
by sea rather to-seize that together both with-the
ναυσιπόροις ἐχθροῖς ῥᾳδίως ἔχοι ἀντικαθίστασθαι
sea-going enemies easily he-might-be-able to-stand-against
καὶ πρὸς τοὺς ἐξ ἠπείρου εὐχερῶς μάχεσθαι. παραχρῆμα
and against those from mainland readily to-fight immediately
τοίνυν τὸν καίσαρα Νικηφόρον τὸν Μελισσηνὸν ἀποστείλας
therefore the caesar Nikephoros the Melissenos having-sent
μετεκαλεῖτο θᾶττον ἢ λόγος τὴν Αἶνον καταλαβεῖν.
he-summoned more-quickly than word — Ainos to-reach

ἔφθασε γὰρ διὰ γραμμάτων δηλώσας συλλέξασθαι
he-had-been-first for through letters having-made-known to-collect
ὁπόσους ἂν δυνηθείη οὐκ ἀπὸ τῶν ἤδη ἐστρατευμένων
as-many-as — he-could not from those already enlisted
(ἐκείνους γὰρ φθάσας εἰς τὰς πόλεις ἁπανταχῆ τῆς
those for having-been-first in the cities everywhere of-the
ἑσπέρας διέσπειρεν ἐφ' ᾧ φρουρεῖν τὰ κυριώτερα τῶν
west he-had-scattered for which to-guard the more-important of-the
πολιχνίων), ἀλλὰ κατὰ μέρος νεολέκτους καταλέγων,
little-towns but by part newly-enlisted enrolling
ὁπόσοι τε ἐκ Βουλγάρων καὶ ὁπόσοι τὸν νομάδα βίον
as-many-as both from Bulgarians and as-many-as the nomad life
εἵλοντο (Βλάχους τούτους ἡ κοινὴ καλεῖν οἶδε διάλεκτος)
chose Vlachs them the common to-call knows tongue
καὶ τοὺς ἄλλοθεν ἐξ ἁπασῶν τῶν χωρῶν ἐρχομένους
and those from-elsewhere from all the lands coming
ἱππέας τε καὶ πεζούς. αὐτὸς δὲ τοὺς τοῦ Φλάντρα
horse both and foot he and the — of-Flanders
πεντακοσίους Κελτοὺς ἐκ Νικομηδείας μεταπεμψάμενος
five-hundred Celts from Nikomedeia having-summoned
μετὰ τῶν συγγενῶν αὐτοῦ ἐξεληλυθὼς τῆς Βυζαντίδος
with the kinsmen his having-gone-out — from-Byzantis
θᾶττον τὴν Αἶνον καταλαμβάνει. καὶ τηνικαῦτα ἐν
more-quickly — Ainos reaches and then in
ἀμφιρύκῳ εἰσελθὼν καὶ παραδραμὼν τὴν τοῦ ὅλου
a-two-oared-boat having-embarked and having-run-past the of-the whole
ποταμοῦ θέσιν καὶ τὴν ὅλην αὐτοῦ κοίτην κατασκεψάμενος
river position and the whole its bed having-surveyed
ἑκατέρωθεν καὶ διαγνούς, ὅποι τὸ στρατιωτικὸν καταθεῖναι
on-both-sides and having-discerned where the military-force to-set
βέλτιον, ὑπέστρεψε. καὶ διὰ τῆς νυκτὸς τοὺς λογάδας
better he-returned and through the night the picked-men

συναγαγὼν τοῦ στρατεύματος τὰ κατὰ τὸν ποταμὸν
having-gathered of-the army the(-things) about the river
καὶ τὰ τούτου παρ᾽ ἑκάτερα διηγεῖτο καὶ ὡς "χρὴ
and the(-things) of-it on both-sides he-narrated and how it-is-needful
τὴν αὔριον διαπεράσαντας καὶ ὑμᾶς τὴν ὅλην περιαθρῆσαι
the morrow having-crossed also you the whole to-survey
πεδιάδα. καὶ ἴσως οὐκ ἀδόκιμος ὃν αὐτὸς ὑμῖν ὑποδείξω
plain and perhaps not unapproved which I to-you I-shall-show
τόπον φανεῖται, οὗ χρὴ τὰς σκηνὰς πήξασθαι." τούτου
place will-appear where it-is-needful the tents to-pitch this
δὲ πᾶσι συνδόξαντος αὐγαζούσης ἡμέρας πρῶτος αὐτὸς τὴν
and to-all having-been-agreed dawning day first he the
περαίαν κατέλαβε κᾆθ᾽ οὕτως ἅπαν αὐτῷ συνείπετο τὸ
far-bank reached and-then thus all him followed the
στρατιωτικόν. καὶ μετὰ τῶν λογάδων αὖθις κατασκοπήσας
military-force and with the picked-men again having-surveyed
τὰς ὄχθας τοῦ ποταμοῦ καὶ τὴν ὑπερκειμένην πεδιάδα
the banks of-the river and the overlying plain
καὶ τὸν ἀρέσκοντα τόπον αὐτῷ ὑποδείξας αὐτοῖς (ἀγχοῦ
and the pleasing place to-him having-shown to-them near
δὲ ἦν πολιχνίου τινὸς τοῦ οὑτωσὶ Χοιρηνοὺς ἐγχωρίως
and it-was a-little-town some of-the thus Choirenoi locally
ὀνομαζομένου ἐξ ἑνὸς μὲν μέρους ἔχων τὸν ποταμόν, ἐξ
named from one indeed side having the river from
ἑτέρου δὲ βαλτώδης ὤν), ἐπεὶ ἱκανὸν ὀχύρωμα καὶ πᾶσιν
other and marshy being since sufficient stronghold also to-all
ὁμοῦ τοῖς στρατιώταις ἐφαίνετο, θᾶττον τάφρον διορύξας
together the soldiers it-appeared more-quickly a-trench having-dug
ἅπαν ἐκεῖ τὸ στράτευμα κατατίθησιν. αὐτὸς δὲ αὖθις μεθ᾽
all there the army he-sets he and again with

ἱκανῶν πελταστῶν πρὸς τὴν Αἶνον ἐπάνεισιν ἐφ' ᾧ τὰς
considerable peltasts to — Ainos returns for which the
τῶν Σκυθῶν ὁρμὰς ἐς ἡμᾶς ἐκεῖθεν ἐρχομένων ἀναστέλλειν.
of-the Scythians onsets to us from-there coming to-check

XXXVIII · THE CUMANS ARRIVE

Countless Scythians gather against Alexios at Choirenoi. About forty thousand Cumans under Togortak and Maniak appear, and Alexios, fearing they will join the Scythians, feasts their leaders and takes oaths and hostages, granting them ten days to fight the Patzinaks. He bridges the river and crosses, and Melissenos arrives with his levies. Alexios defeats a Scythian force at the ford of Philokalos and entrenches below the hill of Lebounes. Neantzes deserts again and is put in irons.

Πυθόμενοι δὲ οἱ κατὰ τὴν γενομένην εἰς Χοιρηνοὺς
having-learned and those at the made at Choirenoi
ταφρείαν ἀμυθήτων Σκυθικῶν στρατευμάτων ἔλευσιν
entrenchment of-countless Scythian armies coming
δηλοῦσι περὶ τούτων τῷ αὐτοκράτορι περὶ τὴν Αἶνον
make-known about these to-the autocrat about — Ainos
ἔτι ἐνδιατρίβοντι. ὁ δὲ παραχρῆμα ἐν ἀμφιρύκῳ πλοίῳ
still staying he and immediately in a-two-oared boat
εἰσελθὼν καὶ παραπλεύσας τὸν ποταμὸν διὰ τοῦ
having-embarked and having-sailed-along the river through the
στομίου διελθὼν ἡνώθη μετὰ παντὸς τοῦ στρατεύματος.
mouth having-passed was-united with all the army
τὰς δὲ ἰδίας ὁρῶν δυνάμεις μηδὲ τὸ πολλοστημόριον
the and own seeing forces not-even the smallest-part
τοῦ Σκυθικοῦ σῳζούσας στρατεύματος ἐν ἀμηχανίᾳ καὶ
of-the Scythian keeping army in helplessness and
φόβῳ ἦν μὴ ἔχων τὸν ἐπαρήγοντα κατὰ ἄνθρωπον.
fear was not having the helper according-to man

οὐκ ἀνέπιπτε δὲ ὅμως οὐδὲ ἐμαλακίζετο, ἀλλὰ πολλοὺς
not he-lost-heart and nevertheless nor grew-weak but many
τοὺς παρ᾽ ἑαυτῷ κυμαινομένους εἶχε λογισμούς. μετὰ
the in himself surging he-had reasonings after
γοῦν τετάρτην ἡμέραν ἐκ τοῦ ἑτέρου μέρους πόρρωθεν
at-any-rate fourth day from the other side from-afar
ὁρᾷ Κομανικὸν στράτευμα ὡσεὶ τεσσαράκοντα χιλιάδας
he-sees a-Cuman army about forty thousands
ἐπικαταλαμβάνον ἤδη. σκεψάμενος δὲ μὴ καὶ αὐτοὶ τοῖς
arriving already having-considered and lest also they to-the
Σκύθαις προστεθέντες δεινὸν τὸν κατ᾽ αὐτοῦ ποιήσωνται
Scythians added terrible the against him might-make
πόλεμον (καὶ οὐδὲν ἄλλο ἐντεῦθεν τὸ ἐλπιζόμενον ἢ
war and nothing other thence the expected than
πανωλεθρία) δεῖν ἐλογίσατο ὑποποιήσασθαι αὐτούς·
utter-ruin to-be-needful he-reckoned to-win-over them
καὶ γὰρ προέφθη τούτους μετακαλέσασθαι. τοῦ δὲ
and for he-had-been-first them to-summon of-the and
Κομανικοῦ στρατεύματος πολλοὶ μὲν καὶ ἄλλοι ἡγεμόνες
Cuman army many indeed also other leaders
κατέστησαν, προαγοὶ δὲ πάντων ὁ Τογορτάκ, ὁ Μανιὰκ
were-set chiefs and of-all — Togortak — Maniak
καὶ ἕτεροι ἄνδρες μαχιμώτατοι. τὴν δὲ πληθὺν τῶν
and other men most-warlike the and multitude of-the
ἐπικαταλαμβανόντων ἤδη Κομάνων ὁρῶν ἐδεδίει τὸ
arriving already Cumans seeing he-feared the
εὐάγωγον πάλαι γινώσκων τῆς αὐτῶν γνώμης, μὴ οἱ
easily-led long-ago knowing of-the their mind lest the
σύμμαχοι ἐχθροὶ καὶ πολέμιοι γεγονότες μεγίστην βλάβην
allies enemies and foes having-become greatest harm
αὐτῷ προξενήσειαν. ἀσφαλέστερον δὲ λογισάμενος ἐκεῖθεν
to-him might-procure safer and having-reckoned from-there

ἀπάραντα μετὰ τοῦ ὁπλιτικοῦ παντὸς διαπερᾶσαι
having-set-out with the heavy-armed-force all to-cross
αὖθις τὸν ποταμὸν δεῖν ἐλογίσατο πρότερον τοὺς
again the river to-be-needful he-reckoned first the
ἡγεμόνας τῶν Κομάνων μετακαλέσασθαι. οἱ δὲ παραχρῆμα
leaders of-the Cumans to-summon they and immediately
προσέρχονται τῷ βασιλεῖ καὶ αὐτὸς ὁ Μανιὰκ κἂν
come to-the emperor and himself — Maniak even-if
ὀψιαίτερον τῶν ἄλλων, πρότερον ἀναβαλλόμενος. δαψιλῆ
later than-the others before putting-off abundant
τοίνυν τράπεζαν αὐτοῖς παρατεθῆναι τοῖς ὀψοποιοῖς ἐπέταξε.
therefore a-table for-them to-be-set-before the cooks he-ordered
καλῶς οὖν εὐωχηθέντας μετὰ ταῦτα φιλοφρονησάμενος
well then feasted after these(-things) having-treated-kindly
αὐτοὺς καὶ παντοίων δωρεῶν ἀξιώσας ὅρκον καὶ ὁμήρους
them and with-every-kind gifts having-honored oath and hostages
ἐξ αὐτῶν ἠτεῖτο ὑποπτεύων τὸ τῆς αὐτῶν γνώμης
from them he-asked suspecting the of-the their mind
εὐεξαπάτητον. οἱ δ' ἑτοίμως τὸ προσταχθὲν ἐπλήρουν
easily-deceived they and readily the(-thing) ordered fulfilled
τὰς πίστεις παρασχόμενοι, αἰτησάμενοι παραχωρηθῆναι
the pledges having-furnished having-asked to-be-granted
τὸν μετὰ τῶν Πατζινάκων πόλεμον συνάψασθαι ἐπὶ
the with the Patzinaks war to-join for
τρισὶν ἡμέραις· καὶ εἰ τὴν νίκην αὐτοῖς δοίη θεός,
three days and if the victory to-them should-give God
διχῇ τὴν ἐπιλαχοῦσαν αὐτοῖς ἅπασαν λείαν διελόντας
in-two the having-fallen-to them all booty having-divided
θάτερον μέρος ἀφορίσαι τῷ βασιλεῖ ὑπισχνοῦντο. ὁ
the-other part to-set-apart for-the emperor they-promised he
δὲ οὐκ ἐπὶ τρισὶ μόναις ἡμέραις, ἀλλ' ἐπὶ ὅλαις δέκα
and not for three only days but for whole ten

μετελεύσεσθαι τοὺς Σκύθας κατὰ τὸ αὐτοῖς βουλητὸν
to-pursue the Scythians according-to the for-them wish
ἄδειαν ἐδεδώκει καὶ τὴν ἐκεῖθεν ἅπασαν ἀφαιρεθησομένην
license had-given and the from-there all going-to-be-taken
λείαν, εἴ γε τέως τὴν νίκην αὐτοῖς παράσχοι θεός,
booty if at-least meanwhile the victory to-them should-provide God
ἀποχαρισάμενος. ἦσαν μὲν οὖν ἐπὶ ταὐτοῦ τέως μένοντα
having-made-a-gift-of were indeed then on the-same for-the-time staying
τὰ Σκυθικὰ καὶ Κομανικὰ στρατεύματα τῶν Κομάνων
the Scythian and Cuman armies the Cumans
δι' ἀκροβολισμῶν πειρωμένων τῆς Σκυθικῆς στρατιᾶς.
through skirmishes testing the Scythian army
τριῶν δὲ ἡμερῶν οὔπω διελθουσῶν μεταπεμψάμενος ὁ
three and days not-yet having-passed having-summoned the
βασιλεὺς τὸν Ἀντίοχον (ἀνὴρ δὲ οὗτος τῶν εὐγενῶν καὶ
emperor — Antiochos a-man and this-one of-the nobles and
δραστηριότητι γνώμης τῶν πολλῶν διαφέρων) ἐπισκήπτει
in-energy of-mind the many surpassing enjoins
αὐτῷ γέφυραν κατασκευάσαι. θᾶττον δὲ διὰ πλοίων
him a-bridge to-build more-quickly and through boats
ἐπιζευχθέντων μακροτάτοις ξύλοις κατασκευασθείσης
yoked with-very-long timbers having-been-built
γεφύρας μεταπεμψάμενος τόν τε πρωτοστράτορα Μιχαὴλ
bridge having-summoned the both protostrator Michael
τὸν Δούκαν καὶ γυναικάδελφον αὐτοῦ καὶ τὸν ἴδιον ἀδελφὸν
the Doukas and brother-in-law his and the own brother
Ἀδριανὸν καὶ μέγαν δομέστικον παρεκελεύσατο παρὰ τῷ
Adrian and grand domestic he-ordered by the
χείλει τοῦ ποταμοῦ ἑστάναι καὶ μὴ συγχωρεῖν συμμίγδην
brink of-the river to-stand and not to-allow pell-mell
διαπερᾶν πεζούς τε καὶ ἱππότας, ἀλλὰ τοὺς πεζοὺς τῶν
to-cross foot both and horse but the foot from-the

ἱππέων πρότερον διακρινομένους καὶ τὰς ἁμάξας μετὰ τῶν
horse first being-separated and the wagons with the
σκευῶν καὶ τὰς φορταγωγοὺς ἡμιόνους. διαπερασάντων
baggage and the pack mules having-crossed
οὖν τῶν πεζῶν δεδιὼς τὰς Σκυθῶν καὶ Κομάνων δυνάμεις
then the foot fearing the of-Scythians and of-Cumans forces
καὶ τὰς λαθραίας τούτων ὑποπτεύων ἐφόδους θᾶττον
and the secret their suspecting attacks more-quickly
ἢ λόγος τάφρον πεποιηκὼς ἐντὸς τούτου εἰσήγαγεν
than word a-trench having-made inside it he-brought
ἅπαντας, εἶτα καὶ τοὺς ἱππότας παρεκελεύσατο διαπερᾶν.
all then also the horsemen he-ordered to-cross
καὶ αὐτὸς δὲ παρὰ τῷ χείλει τοῦ ποταμοῦ ἱστάμενος
and he too by the lip of-the river standing
τοὺς διαπερῶντας ἐώρα. ὁ δὲ Μελισσηνὸς καθ' ἣν
those crossing watched — and Melissenos according-to which
φθάσας ἐδέξατο γραφὴν τοῦ αὐτοκράτορος πεποιηκὼς
having-been-first he-received letter of-the autocrat having-done
καὶ συλλεξάμενος δυνάμεις ἁπανταχόθεν, ἀπὸ δὲ τῶν
and having-collected forces from-everywhere from and those
ἐγγὺς καὶ πεζοὺς ἐξελάσας ἐπισάξαντας ἐν ἁμάξαις ὑπὸ
near also foot having-driven-out having-loaded on wagons by
βοῶν ἑλκομέναις τὰς ἰδίας σκευὰς καὶ τὰ πρὸς χρείαν
oxen drawn the own baggage and the(-things) for use
ἅπαντα σπουδαίως πρὸς τὸν αὐτοκράτορα ἐξέπεμψεν. οἱ
all zealously to the autocrat sent-out they
δὲ φθάσαντες ἤδη ἐκ διαστήματος, καθ' ὅσον ὀφθαλμὸς
and having-arrived already from a-distance as far-as eye
ἐξικνεῖται περιαθρεῖν τὸ ὁρώμενον, ἀποσπὰς τῶν
reaches to-survey the(-thing) seen a-detachment of-the
Σκυθῶν ἐδόκουν τοῖς πλείστοις κατὰ τοῦ αὐτοκράτορος
Scythians seemed to-the most against the autocrat

ἰέναι. ἤδη δὲ καί τις τεθαρρηκὼς καὶ τῷ δακτύλῳ
to-come already and also someone having-taken-courage and with-the finger
ὑποδεικνὺς τῷ αὐτοκράτορι Σκύθας διενίστατο εἶναι. ὁ
pointing to-the autocrat Scythians affirmed to-be he
δ' ἀληθὲς τὸ ῥηθὲν οἰηθεὶς καὶ πρὸς τοσούτους
and true the(-thing) said having-thought and against so-many
μὴ ἐξισχύων ἐν ἀμηχανίᾳ καθειστήκει. μεταπεμψάμενος
not being-strong in helplessness was-set having-summoned
οὖν τὸν Ῥοδομηρὸν τηνικαῦτα (ἀνὴρ δὲ οὗτος ἐκ
then — Rhodomeros then a-man and this-one from
Βουλγάρων ὁρμώμενος εὐγενὴς καὶ μητρόθεν συγγενὴς
Bulgarians sprung noble and on-the-mother's-side kinsman
τῆς Αὐγούστης καὶ μητρὸς ἡμετέρας) τοῦτον ἀποστείλας
of-the Augusta and mother our him having-sent
ἐπέσκηψε κατασκοπῆσαι τοὺς ἐρχομένους. ὁ δὲ ταχὺ τὸ
enjoined to-spy-out those coming he and quickly the(-thing)
κελευσθὲν διηνυκὼς ὑποστρέψας τοὺς ἐκ τοῦ Μελισσηνοῦ
ordered having-done having-returned those from — Melissenos
πεμφθέντας εἶναι ἔλεγεν. ὁ δέ γε αὐτοκράτωρ περιχαρὴς
sent to-be said the and at-least autocrat overjoyed
γεγονὼς καὶ μικρὸν ἐγκαρτερήσας φθασάντων διαπερᾷ σὺν
having-become and a-little having-waited they-having-arrived crosses with
αὐτοῖς καὶ παραχρῆμα τὴν γενομένην ταφρείαν ἐπὶ πλέον
them and immediately the made entrenchment on more
ἐπαυξήσας ἥνωσε τούτους μετὰ τοῦ λοιποῦ στρατεύματος.
having-enlarged united them with the rest army
οἱ δὲ Κόμανοι παραχρῆμα τὴν τάφρον καταλαμβάνουσιν,
the and Cumans immediately the trench reach
ὅθεν ὁ βασιλεὺς μετὰ τοῦ ὁπλιτικοῦ παντὸς ἀπάρας
whence the emperor with the heavy-armed-force all having-set-out
διεπέρασεν, αὐτοῦ που κατασκηνώσαντες. τῇ γοῦν
crossed there somewhere having-encamped on-the at-any-rate

μετ᾽ αὐτὴν ἐκεῖθεν ἀπάρας ὁ αὐτοκράτωρ καταλαμβάνειν
after it from-there having-set-out the autocrat to-reach
ἔμελλε τὸν κάτωθεν τοῦ ποταμοῦ πόρον τοῦ Φιλοκάλου
was-about the below the river ford — of-Philokalos
ἐγχωρίως καλούμενον· ἱκανοῖς δὲ τῶν Σκυθῶν ἐντυχὼν καὶ
locally called considerable and of-the Scythians having-met and
τηνικαῦτα προσβαλὼν αὐτοῖς καρτερὸν συνῆψε πόλεμον.
then having-attacked them strong joined war
κτείνονται μὲν οὖν ἐν τῷ μάχεσθαι ἐξ ἑκατέρων πολλοί·
are-killed indeed then in the fighting from both-sides many
ὅμως δὲ τὴν νικῶσαν εἶχεν ὁ βασιλεὺς ἡττήσας τοὺς
nevertheless and the victory held the emperor having-defeated the
Σκύθας κατὰ κράτος. οὕτω γοῦν τῆς μάχης διαλυθείσης
Scythians by force thus at-any-rate the battle having-been-dissolved
καὶ τῶν στρατευμάτων διακριθέντων πρὸς τὰς οἰκείας
and the armies having-been-separated to the own
παρεμβολὰς αὐτοῦ που τὸ Ῥωμαϊκὸν προσέμεινε
camps there somewhere the Roman stayed
στράτευμα δι᾽ ὅλης τῆς τότε νυκτός. αὐγαζούσης δὲ
army through all the then night dawning and
τῆς ἡμέρας ἐκεῖθεν ἀπάραντες καταλαμβάνουσι τόπον
the day from-there having-set-out they-reach place
τινὰ καλούμενον τοῦ Λεβούνη· βουνὸς δὲ τῆς πεδιάδος
a-certain called — of-Lebounes a-hill and the plain
ὑπερκείμενος. ἄνεισι μὲν οὖν ἐκεῖσε ὁ αὐτοκράτωρ. ἐπεὶ
overlying goes-up indeed then there the autocrat since
δὲ μὴ τὸ πᾶν τοῦ στρατεύματος ὁ ὑπερκείμενος ἐχώρει
and not the whole of-the army the overlying held
τόπος, περὶ τοὺς πρόποδας αὐτοῦ διώρυχα ποιήσας καὶ
place about the foothills of-it a-ditch having-made and
τάφρον ἀποχρῶσαν τῷ παντὶ στρατεύματι ἐκεῖ τούτους
a-trench sufficient for-the whole army there them

κατατίθησι. πρόσεισι δὲ τηνικαῦτα τῷ αὐτοκράτορι αὖθις
he-sets comes and then to-the autocrat again
αὐτόμολος ὁ Νεάντζης καὶ σὺν αὐτῷ ὀλίγοι Σκύθαι.
as-a-deserter — Neantzes and with him few Scythians
ὃν θεασάμενος ὁ βασιλεὺς καὶ τῆς προτέρας αὐτοῦ
whom having-beheld the emperor and of-the former his
ἀγνωμοσύνης ἀναμνήσας καὶ ἄλλα τινὰ προσθέμενος
ingratitude having-reminded and other some having-added
ἔμφρουρον αὐτὸν μετὰ τῶν ἄλλων καὶ σιδηρόδετον εἶχεν.
under-guard him with the others and iron-bound he-held

XXXIX · LEBOUNION

The Cumans threaten that they will not wait past sunrise, and Alexios fixes battle for the next day. Five thousand mountaineers join him. At night the army prays by torchlight, the lights on its spears like stars. At dawn the Romans charge in a crescent with the Cumans. When a Scythian chief deserts to the Cumans, Alexios, fearing they will be turned against him, sends the imperial standard to stand with them. A whole nation, women and children with it, perishes on the twenty-ninth of April: the Scythians did not see May.

Οὕτω μὲν οὖν ὁ βασιλεύς· οἱ δέ γε Σκύθαι κατὰ τὸν
thus indeed then the emperor the and at-least Scythians at the
ῥύακα τοῦ καλουμένου Μαυροποτάμου κείμενοι ὑπεποιοῦντο
stream of-the called Mauropotamos lying were-winning-over
λαθραίως τοὺς Κομάνους συμμάχους προσκαλούμενοι. ἀλλ᾽
secretly the Cumans as-allies calling but
οὐδὲ πρὸς τὸν βασιλέα πέμποντες ἠρέμουν τὰ περὶ
not-even to the emperor sending they-were-quiet the(-terms) about
εἰρήνης ἐρωτῶντες. ὁ δὲ τοῦ δολεροῦ τῆς γνώμης αὐτῶν
peace asking he and the crafty of-the mind their

στοχαζόμενος προσηκούσας καὶ τὰς ἀποκρίσεις αὐτοῖς
guessing fitting also the answers to-them
ἐπεποίητο ἀπαιωρεῖν ἐθέλων τοὺς αὐτῶν λογισμούς, εἴ
made to-keep-in-suspense wishing the their reasonings if
που καὶ τὸ ἐκ τῆς Ῥώμης προσδοκώμενον μισθοφορικὸν
somehow also the from — Rome expected mercenary-force
καταλάβοι. οἱ δὲ Κόμανοι ἀμφιβόλους ἔχοντες τὰς τῶν
should-arrive the and Cumans doubtful holding the of-the
Πατζινάκων ὑποσχέσεις οὐ πάνυ τι αὐτοῖς προσετίθεντο,
Patzinaks promises not very at-all to-them they-attached-themselves
ἀλλ' ἑσπέρας μηνύουσι τῷ βασιλεῖ· "μέχρι πόσου τὴν
but in-the-evening send-word to-the emperor until how-long the
μάχην ἀναβαλώμεθα; ἴσθι τοίνυν, ὡς ἐπὶ πλέον οὐκ
battle shall-we-put-off know therefore that for more not
ἐγκαρτερήσομεν, ἀλλ' ἡλίου ἀνατέλλοντος λύκου ἢ ἀρνειοῦ
we-shall-wait but sun rising of-wolf or of-lamb
κρέας ἐδόμεθα". ταῦτα ὁ βασιλεὺς ἀκούσας καὶ τὸ
meat we-shall-eat these(-things) the emperor having-heard and the
ὀξὺ τῆς τῶν Κομάνων γνώμης διαγνοὺς οὐκέτι ἐν
sharpness of-the of-the Cumans mind having-discerned no-longer in
ἀναβολαῖς τοῦ μάχεσθαι ἦν, ἀλλὰ τὴν ἡμέραν ἐκείνην
delays of-the fighting was but the day that
κρίσιν τοῦ πολέμου δημοτελῆ θέμενος ἐκείνοις μὲν κατὰ
judgment of-the war public having-set to-those indeed on
τὴν ἐπιοῦσαν τὸν μετὰ τῶν Σκυθῶν ὑπέσχετο πόλεμον,
the following the with the Scythians promised war
αὐτὸς δὲ παραχρῆμα μετακαλεσάμενος τοὺς ἡγεμόνας καὶ
he and immediately having-summoned the leaders and
πεντηκοντάρχας καὶ λοιποὺς προσέταξε διὰ παντὸς τοῦ
commanders-of-fifty and rest ordered through all the
φοσσάτου διακηρυκεῦσαι τὸν ἐς τὴν αὔριον ταμιευθέντα
fossaton to-proclaim the for the morrow reserved

πόλεμον. ἀλλὰ κἂν τοιαῦτα ἐσκέπτετο, ἐδεδίει ὅμως τὰ
war but even-if such-things he-considered he-feared nevertheless the
ἄπειρα πλήθη τῶν Πατζινάκων καὶ Κομάνων ὑποπτεύων
countless multitudes of-the Patzinaks and Cumans suspecting
τὴν ἀμφοτέρων σύμβασιν. ταῦτα γοῦν διασκοπουμένου
the of-both agreement these(-things) at-any-rate considering
τοῦ βασιλέως κατέλαβον πρὸς αὐτὸν τῶν ὀρεινοτέρων
the emperor reached to him from-the more-mountainous
μερῶν ἄνδρες τολμητίαι καὶ Ἀρειμάνιοι αὐτόμολοι πρὸς
parts men daring and Warlike deserters for
συνασπισμὸν αὐτοῦ εἰς χιλιάδας ποσούμενοι πέντε. ἐπεὶ δ'
locking-shields-with him to thousands numbering five since and
ἀναβολὴν ἔτι τὰ τῆς μάχης οὐκ εἶχε, θεὸν ἀρωγὸν
delay still the(-affairs) of-the battle not had God as-helper
ἐπεκαλεῖτο. δύνοντος δὲ τοῦ ἡλίου πρῶτος αὐτὸς κατῆρχε
he-invoked setting and the sun first he began
τῆς πρὸς θεὸν παρακλήσεως λαμπράν τε δᾳδουχίαν
the to God supplication brilliant both torch-bearing
ποιούμενος καὶ προσήκοντας ὕμνους ᾄδων αὐτῷ. οὐ μὴν
making and fitting hymns singing to-him not indeed
οὐδὲ τὸ ἅπαν φοσσάτον ἠρεμεῖν συνεχώρει, ἀλλὰ τὰ αὐτὰ
nor the whole fossaton to-be-quiet he-allowed but the same-things
ἑκάστῳ μὲν τῶν συνετωτέρων πράττειν συνεβούλευε,
to-each indeed of-the more-sensible to-do he-advised
τοῖς δὲ ἀγροικοτέροις ἐπέσκηπτε. τηνικαῦτα γοῦν τὸν
to-the and more-rustic he-enjoined then at-any-rate the
μὲν ἥλιον ἦν ὁρᾶν τοῦ ὁρίζοντος δύνοντα, τὸν δὲ
indeed sun it-was to-see from-the horizon setting the and
ἀέρα πεφωτισμένον οὐχ ἑνὸς ὥσπερ ἡλίου λάμποντος,
air illuminated not by-one as-if sun shining
ἀλλὰ καὶ πολλῶν ἄλλων ἀστέρων λαμπρὰν τὴν φαῦσιν
but also of-many other stars brilliant the light

παρεχομένων. ἅπαντες γὰρ τοῖς ἰδίοις δόρασι πήξαντες
providing all for on-the own spears having-fixed
λαμπάδας καὶ κηρούς, ὡς ἕκαστος δυνάμεως εἶχεν, ἀνῆψαν.
torches and candles as each of-means had lit
αἱ δέ γε παρὰ τοῦ στρατεύματος ἀναπεμπόμεναι φωναὶ
the and at-least from the army sent-up voices
μέχρις οἶμαι τῶν οὐρανίων ἀντύγων ἔφθανον, μᾶλλον δ',
as-far-as I-think the heavenly vaults reached rather but
εἰ χρὴ τἀληθὲς εἰπεῖν, εἰς αὐτὸν τὸν δεσπότην θεὸν
if it-is-needful the-truth to-say to himself the master God
ἀνεφέροντο. ἐκ τούτου δ' οἶμαι τεκμαίρεσθαι χρὴ
were-borne-up from this and I-think to-infer it-is-needful
τὴν τοῦ βασιλέως εὐσέβειαν, ὡς ἄρα τὰς πρὸς ἐχθροὺς
the of-the emperor piety that after-all the against enemies
προσβολὰς οὐκ ἐδόκει ποιεῖν ἄνευ τῆς ἐκεῖθεν ἐπαρωγῆς.
attacks not he-thought-fit to-make without the from-there help
οὐ γὰρ ἐν ἀνδράσι καὶ ἵπποις καὶ στρατηγικαῖς μηχαναῖς
not for in men and horses and generalship devices
καὶ οὗτος ἐθάρρει, ἀλλὰ τὸ πᾶν τῇ ἄνω ῥοπῇ
and this-one trusted but the whole to-the from-above inclination
ἐδίδου. καὶ ταῦτα μὲν μέχρι μέσης ἐτελεῖτο νυκτός·
gave and these(-things) indeed until middle was-performed night
μικρὸν δὲ τοῦ λοιποῦ τὸ σῶμα διαναπαύσας ἀνέθορε
a-little and of-the rest the body having-rested he-leapt-up
τοῦ ὕπνου καὶ τοὺς ψιλοὺς τῶν στρατιωτῶν ὥπλιζε
from-the sleep and the light-armed of-the soldiers armed
καρτερῶς, ἔστιν οὗ καί τινας ἀμφία καὶ περικεφαλαίας
strongly there-is where and some garments and helmets
ἐκ σηρικῶν πέπλων ὁμοχρόων κατασκευάσας περιέβαλεν,
from silken cloths of-like-color having-made he-clothed
ἐπεὶ μὴ ἀπέχρη τούτῳ πρὸς πάντας ὁ σίδηρος. ἡμέρας
since not sufficed for-him for all the iron of-day

δὲ ἀπάρτι διαγελώσης καρτερῶς ὁπλισάμενος τῆς
and by-now smiling strongly having-armed from-the
φάραγγος ἔξεισι τὸ ἐνυάλιον ἠχῆσαι κελεύσας. καὶ κάτωθεν
ravine goes-out the war-cry to-sound having-ordered and below
τοῦ καλουμένου Λεβουνίου (τόπος δὲ οὗτος ***) τὸ
the called Lebounion place and this (lacuna) the
στράτευμα διελὼν τὰς φάλαγγας ἰλαδὸν ἵστησιν.
army having-divided the phalanxes by-squadrons sets
αὐτὸς δὲ ὁ αὐτοκράτωρ προμετώπιος ἵστατο δριμὺ
he and the autocrat at-the-front stood keen
μένος πνέων. τοῦ μέντοι δεξιοῦ καὶ εὐωνύμου κέρως
strength breathing of-the however right and left wing
ὁ Παλαιολόγος Γεώργιος καὶ Κωνσταντῖνος κατῆρχον
— Palaiologos George and Constantine commanded
ὁ Δαλασσηνός. ἐξ ὑπερδεξίων δὲ τῶν Κομάνων ὁ
— Dalassenos from on-the-right and of-the Cumans —
Μοναστρᾶς ὁπλισάμενος μετὰ τῶν ὑπ᾽ αὐτὸν ἵστατο·
Monastras having-armed with those under him stood
ἤδη γὰρ κἀκεῖνοι τὰς Ῥωμαϊκὰς φάλαγγας καθιστῶντα
already for also-they the Roman phalanxes setting
τὸν αὐτοκράτορα ὁρῶντες τὰς σφῶν ὥπλιζον δυνάμεις καὶ
the autocrat seeing the own armed forces and
κατὰ τὸ δοκοῦν πολέμου διετύπουν σχῆμα· ἐξ εὐωνύμου
according-to the seeming of-war drew form from left
δὲ τούτων ὁ Οὐζᾶς καλούμενος, τὸ δέ γε πρὸς
and of-them — Ouzas called the and at-least toward
δύσιν ὁρῶν ὁ Οὐμπερτόπουλος μετὰ τῶν Κελτῶν. οὕτω
west looking — Houmbertopoulos with the Celts thus
γοῦν ὁ αὐτοκράτωρ ταῖς φάλαγξι πυργώσας οἷον τὸ
at-any-rate the autocrat with-the phalanxes having-towered as-it-were the
στράτευμα καὶ ταῖς ἴλαις περισφίγξας τὴν ἐνυάλιον αὖθις
army and with-the squadrons having-girded the martial again

ἐκέλευσεν ἠχῆσαι σάλπιγγα. οἱ δὲ Ῥωμαῖοι δεδιότες τὸ
he-ordered to-sound trumpet the and Romans fearing the
ἀπειροπληθὲς τῶν Σκυθῶν καὶ τὰς ἀμυθήτους ἁρμαμάξας
infinite-multitude of-the Scythians and the countless covered-wagons
τειχῶν ὥσπερ παρεχομένας αὐτοῖς χρείαν τὸν ὅλων
of-walls as-if providing to-them need the of-all
κύριον εἰς ἔλεον μιᾷ φωνῇ ἐπικαλεσάμενοι ὅλας ἡνίας
Lord for mercy with-one voice having-invoked whole reins
χαλάσαντες τὴν μετὰ τῶν Σκυθῶν μάχην ἐπέσπευδον τοῦ
having-slackened the with the Scythians battle hastened the
αὐτοκράτορος ἁπάντων προπάροιθεν θέοντος. μηνοειδοῦς
autocrat of-all in-front running crescent-shaped
δὲ τῆς παρατάξεως γεγονυίας, ἐν ταὐτῷ καὶ ὥσπερ
and the battle-line having-become at the-same-time and as-if
ἐξ ἑνὸς συνθήματος παντὸς τοῦ στρατοῦ καὶ αὐτῶν
from one signal all the army and of-the-very
δὴ τῶν Κομάνων τὴν κατ᾽ αὐτῶν ποιησαμένων ὁρμήν,
indeed the Cumans the against them having-made onset
στοχασάμενος τοῦ μέλλοντος Σκύθης τις τῶν ἐκκρίτων
having-guessed the future Scythian a-certain of-the picked
ἡγεμὼν τηνικαῦτα καθεστὼς προηρπάκει τὴν σωτηρίαν
leader then set had-snatched-first the safety
καὶ ὀλίγους συμπαραλαβὼν πρόσεισι τοῖς Κομάνοις ὡς
and few having-taken-along goes to-the Cumans as
ὁμογλώττοις. κἂν γὰρ κατὰ τῶν Σκυθῶν ἐκθύμως
fellow-tongued even-if for against the Scythians passionately
καὶ οὗτοι ἐμάχοντο, ἀλλὰ θαρρήσας μᾶλλον ἢ τοῖς
also these fought but having-trusted rather than to-the
Ῥωμαίοις αὐτοῖς προσεληλύθει ἐφ᾽ ᾧ μεσίταις τούτοις
Romans to-them he-had-come for which as-intermediaries them
πρὸς τὸν αὐτοκράτορα χρήσασθαι. τοῦτο ὁ αὐτοκράτωρ
toward the autocrat to-use this the autocrat

θεασάμενος καὶ πτοηθεὶς μὴ τούτοις καὶ ἕτεροι
having-beheld and having-been-frightened lest to-them also others
τῶν Σκυθῶν προσχωρήσαντες ἀναπείσωσι τοὺς Κομάνους
of-the Scythians having-gone-over might-persuade the Cumans
τὰ ὑπὲρ αὐτῶν φρονήσαντας κατὰ τῆς Ῥωμαϊκῆς
the(-things) for them having-thought against the Roman
φάλαγγος στρέψαι μετὰ τῆς γνώμης καὶ τὰς ἡνίας,
phalanx to-turn with the mind and the reins
παραχρῆμα, ὁποῖος ἐκεῖνος δραστήριος ἐν ὀξείᾳ ῥοπῇ
immediately such that-man energetic in sharp turn
τοῦ συνοίσοντος καταστοχάσασθαι, τῷ τὴν βασιλικὴν
of-the advantageous to-guess to-the(-man) the imperial
σημαίαν κατέχοντι ἐπέταξε ταύτην ἐν χεροῖν φέροντι
standard holding ordered it in both-hands carrying
μετὰ τῆς τῶν Κομάνων στῆναι παρεμβολῆς. τῆς Σκυθικῆς
with the of-the Cumans to-stand camp the Scythian
δὲ ὁμαιχμίας διασπασθείσης ἤδη καὶ προσχωρησάντων
and battle-array having-been-torn-apart already and having-come-together
ἀλλήλοιν τοῖν στρατοπέδοιν ἀνδροκτασίαν ἦν θεᾶσθαι
to-each-other the two-armies slaughter it-was to-see
τηνικαῦτα, ὁποίαν οὐδείς πω ἐθεάσατο. τῶν δὲ Σκυθῶν
then such-as no-one ever saw of-the and Scythians
δεινῶς ἀποσφαττομένων ὡς ἐγκαταλειφθέντων ἤδη ὑπὸ
terribly being-slaughtered as abandoned already by
τῆς θείας δυνάμεως κεκοπιακότες οἱ σφάττοντες τῇ
the divine power having-toiled the slaughterers with-the
σφοδρᾷ καὶ πυκνῇ κινήσει τῶν ξιφῶν λειποθυμοῦντες
violent and frequent motion of-the swords fainting
ἀνεκόπτοντο τῆς ὁρμῆς. ὁ δὲ αὐτοκράτωρ ἐν μέσοις
were-checked from-the onset the and autocrat in the-midst
τοῖς πολεμίοις ἐξιππαζόμενος ὅλας συνετάραττε φάλαγγας
the enemies riding-out whole confounded phalanxes

πλήττων μὲν τοὺς ἀντικαθισταμένους, καταπτήσσων δὲ
striking indeed the opponents terrifying and
καὶ τοὺς πόρρω τοῖς ἐμβοήμασιν. ἐπεὶ δὲ τὸν ἥλιον ὑπὲρ
also those far-off with-the shouts since and the sun over
κεφαλῆς τὰς ἀκτῖνας βάλλοντα ἑώρα μεσημβρίας ἀπάρτι
head the rays casting he-saw midday by-now
οὔσης, προμηθεύεταί τι τοιοῦτον. μεταπεμψάμενός τινας
being provides something such having-summoned some
ἀποστέλλει ἐφ' ᾧ ἀγρότας ἀσκοὺς πλήσαντας ὕδατος
sends for which rustics skins having-filled with-water
καὶ ταῖς ἰδίαις ἐπισάξαντας ἡμιόνοις ἐξελάσαντας ἀγαγεῖν.
and on-the own having-loaded mules having-driven-out to-bring
τούτους δὲ ἤδη θεασάμενοι καὶ οἱ μὴ προσκληθέντες
them and already having-beheld also those not summoned
τῶν πλησιοχώρων τὸ αὐτὸ τοῦτ' ἐποίουν τοὺς τῆς
of-the neighbors the same this did those from-the
δεινῆς τῶν Σκυθῶν χειρὸς αὐτοὺς ἀπαλλάττοντας ὁ
terrible of-the Scythians hand them freeing the(-one)
μὲν δι' ἀμφορέως, ὁ δὲ δι' ἀσκοῦ, ὁ δὲ δι'
indeed with a-jar the(-other) and with a-skin the(-other) and with
ὁποίου τύχοιεν ἄγγους ἀναψύχοντες ὕδατι. οἱ δὲ
whatever they-might-chance vessel refreshing with-water they and
μικρὸν τοῦ ὕδατος σπώμενοι αὖθις τῆς μάχης ἀντείχοντο.
a-little of-the water drinking again to-the battle held
καὶ ἦν ἰδεῖν θέαμα καινόν, ἔθνος ὅλον, οὐ μυριάνθρωπον,
and it-was to-see a-sight new a-nation whole not ten-thousand-manned
ἀλλ' ἀριθμὸν ἅπαντα ὑπερβαῖνον, σὺν γυναιξὶ καὶ τέκνοις
but number all exceeding with women and children
ἄρδην κατὰ ταυτηνὶ τὴν ἡμέραν ἀπολωλός. ἦν δὲ
utterly on this-here the day having-perished it-was and
μηνὸς Ἀπριλλίου εἰκοστὴ πρὸς τῇ ἐννάτῃ ἡμέρᾳ,
of-the-month April twentieth besides the ninth day

τρίτη δὲ τῆς ἑβδομάδος. ἔνθεν τοι καὶ παρῳδιόν τι οἱ
third and of-the week whence surely also parody a the
Βυζάντιοι ἐπῇδον φάσκοντες "διὰ μίαν ἡμέραν οἱ Σκύθαι
Byzantines sang saying through one day the Scythians
τὸν Μάϊον οὐκ εἶδον". ἐπεὶ δὲ ὁ ἥλιος πρὸς δυσμαῖς
the May not saw since and the sun to setting
ἤδη ἦν καὶ ἅπαντες μὲν ξιφῶν ἔργον γεγόνασι, καὶ
already was and all indeed of-swords a-work became both
τὰ τέκνα φημὶ καὶ αἱ μητέρες, πολλοὶ δὲ καὶ ζωγρία
the children I-mean and the mothers many and also alive
ἐλήφθησαν, τὸ ἀνακλητικὸν ὁ αὐτοκράτωρ κελεύσας
were-taken the recall the autocrat having-ordered
ἠχῆσαι πρὸς τὴν ἰδίαν ἐπάνεισι παρεμβολήν. καὶ ἦν
to-sound to the own returns camp and it-was
τῷ κατανοοῦντι θαῦμα ἰδέσθαι, πῶς οἱ πάλαι κατὰ τῶν
for-the observer a-wonder to-see how those long-ago against the
Σκυθῶν ἐξερχόμενοι τοῦ Βυζαντίου καλῴδια ἐξωνούμενοι
Scythians going-out — from-Byzantium ropes buying
καὶ ἱμάντας, δι' ὧν δεσμώτας ἄγοιεν τοὺς τῶν
and thongs through which as-prisoners they-might-lead those of-the
Σκυθῶν ἑαλωκότας, τοὐναντίον πεπόνθασιν αὐτοί τε
Scythians captured the-opposite suffered themselves both
παρὰ τῶν Σκυθῶν ἑαλωκότες καὶ δεσμῶται γενόμενοι.
by the Scythians captured and prisoners having-become
ἀλλὰ ταῦτα μὲν τότε, ὁπηνίκα κατὰ τὴν Δρίστραν ὁ
but these(-things) indeed then when at — Dristra the
μετὰ τῶν Σκυθῶν γέγονε πόλεμος· καὶ γὰρ τὸ φρύαγμα
with the Scythians happened war and for the arrogance
τότε τῶν Ῥωμαίων καθεῖλε θεός. ἐν ὑστέροις δέ, καθ'
then of-the Romans brought-down God in later-times but at
ὃν ὑφηγοῦμαι καιρόν, ὁπηνίκα περιδεεῖς τούτους ἔγνω
which I-am-narrating time when very-afraid them he-knew

καὶ τὰς σῳζούσας ἀπολωλεκότας ἐλπίδας πρὸς τοσαῦτα
and the saving having-lost hopes against so-great
πλήθη μὴ ἐξισχύοντας, τὴν νίκην παραδόξως ἐχαρίσατο
multitudes not being-strong the victory unexpectedly granted
τούτοις, ὡς καὶ δεσμεῖν καὶ σφάττειν καὶ ζωγρίαν ἄγειν
them so-that both to-bind and to-slaughter and alive to-lead
τοὺς Σκύθας, οὐ τοῦτο δὲ μόνον (τάχα γάρ τι
the Scythians not this and only perhaps for something
τοιοῦτον κἀν τοῖς μερικοῖς τῶν πολέμων πολλάκις εἴωθε
such even-in the partial of-the wars often is-wont
γίνεσθαι), ἀλλὰ καὶ ὅλον ἔθνος μυρίανδρον κατὰ μίαν
to-happen but also whole nation of-ten-thousand-men in one
καὶ μόνην ἀφανίσαι ἡμέραν.
and only to-make-disappear day

XL · MERCY AND THE MASSACRE

Synesios urges Alexios to kill the many prisoners, but he refuses, saying that Scythians are still men. In the night the soldiers kill nearly all of them, and Alexios suspects Synesios. The Cumans, fearing a plot, flee with their booty, and Alexios sends their promised share after them to the Danube, since he will not even seem to lie. He pays the Cumans who stayed with him more than he promised. He sends the Cumans home under Ioannakes and returns to Byzantium in May.

Τῶν ταγμάτων δὲ τοῦ τε Κομανικοῦ καὶ Ῥωμαϊκοῦ ἀπ'
of-the units and the both Cuman and Roman from
ἀλλήλων διακριθέντων καὶ τοῦ αὐτοκράτορος περὶ λύχνων
each-other having-separated and the autocrat about of-lamps
ἁφὰς πρὸς δεῖπνον ἀπιδόντος δυσχεραίνων εἱστήκει ὁ
lightings to dinner having-gone-off displeased stood the
καλούμενος Συνέσιος "τί τὸ γινόμενον καὶ τίς αὕτη ἡ
called Synesios what the(-thing) happening and what this the

καινὴ οἰκονομία;" λέγων πρὸς τὸν αὐτοκράτορα. "ἕκαστος
new management saying to the autocrat each
τῶν στρατιωτῶν ἀνὰ τριάκοντα καὶ πλείω δεσμώτας ἔχει
of-the soldiers apiece thirty and more prisoners has
Σκύθας. ἡ τῶν Κομάνων πληθὺς ἐγγὺς ἡμῶν ἐστιν. εἰ
Scythians the of-the Cumans multitude near us is if
γοῦν ὑπνώσαιεν οἱ στρατιῶται, καθά γε καὶ δεῖ,
at-any-rate should-sleep the soldiers as at-least also it-is-needful
τοσοῦτον κεκοπιακότες καὶ οἱ Σκύθαι ἄλλος ἄλλον λύσαντες
so-much having-toiled and the Scythians one another having-loosed
καὶ τοὺς ἀκινάκεις σπασάμενοι ἀναιρήσουσιν αὐτούς, τί
and the scimitars having-drawn will-kill them what
τὸ λοιπὸν ἔσται; ἀλλὰ κέλευσον ἀναιρεθῆναι θᾶττον τοὺς
the rest will-be but order to-be-killed more-quickly the
πλείονας." ὁ δὲ βασιλεὺς δριμὺ πρὸς αὐτὸν ἐνιδὼν ἔφη
most the and emperor keenly at him having-looked he-said
"κἂν Σκύθαι, ἀλλὰ πάντως ἄνθρωποι, κἂν ἐχθροί, ἀλλ'
even-if Scythians but surely men even-if enemies but
ἐλέους ἄξιοι· αὐτὸς δ' οὐκ οἶδα τί φρονήσας ταῦτα
of-mercy worthy you and not I-know what having-thought these(-things)
ληρεῖς", τὸν δ' ἐνιστάμενον μετ' ὀργῆς ἀπεπέμψατο.
talk-nonsense the and objecting with anger sent-away
προσέταξε δὲ τηνικαῦτα διαλαλιὰν εἰς ἅπαν τὸ στράτευμα
ordered and then a-proclamation into all the army
γενέσθαι, ἅπαντα τὰ τῶν Σκυθῶν ἀναλαβομένους ὅπλα εἰς
to-be-made all the of-the Scythians having-taken-up arms into
ἕνα καταθέσθαι τόπον, τοὺς δὲ δεσμώτας παραφυλάττειν.
one to-lay-down place the and prisoners to-guard
ταῦτα κελεύσας ἐν ἀμεριμνίᾳ τὸ λοιπὸν τῆς νυκτὸς
these(-things) having-ordered in freedom-from-care the rest of-the night
ἦν. περὶ μέσην δὲ φυλακὴν τῆς νυκτὸς εἴτ' ἐκ θείας

ὀμφῆς εἴτε καὶ ὅπως οὐκ οἶδα, ὅμως δ' οὖν ὡς ἐξ
voice or also how not I-know nevertheless but then as from
ἑνὸς συνθήματος μικροῦ πάντας οἱ στρατιῶται ἀπέκτειναν.
one signal almost all the soldiers killed
τοῦτο ὁ βασιλεὺς αὐγαζούσης ἡμέρας ἀκηκοὼς ὕποπτον
this the emperor dawning day having-heard suspect
εὐθὺς τὸν Συνέσιον εἶχε. μετακαλεῖται τοίνυν παραχρῆμα
at-once — Synesios held summons therefore immediately
τοῦτον. καὶ αἰτιώμενος σφοδρῶς ἠπειλεῖτο λέγων "τοῦτο
him and accusing violently threatened saying this
τὸ ἔργον σόν". τοῦ δὲ ἐπομνυμένου μὴ εἰδέναι ἐπέταξε
the work yours he and swearing not to-know ordered
δεσμηθέντα τοῦτον κατασχεθῆναι "γνώτω," λέγων "ὁποῖον
bound him to-be-held let-him-know saying what-sort
καὶ μόνον ὁ δεσμὸς κακόν ἐστιν, ὡς μηκέτι κατὰ
also alone the bond evil is so-that no-longer against
ἀνθρώπων τοιαύτας ἀποφάσεις ποιεῖσθαι". τάχα δὲ ἂν
men such sentences to-make perhaps and —
καὶ ἐκόλασε τοῦτον, εἰ μὴ προσελθόντες οἱ καθ'
also he-would-have-punished him if not having-come those by
αἷμα καὶ ἐξ ἀγχιστείας προσήκοντες τῷ αὐτοκράτορι
blood and from marriage related to-the autocrat
μεγιστᾶνες κοινὴν τὴν ὑπὲρ τοῦ Συνεσίου ἱκετηρίαν
magnates common the on-behalf-of — Synesios supplication
ἐποιοῦντο. τῶν δὲ Κομάνων οἱ πλείους πτοηθέντες,
made of-the and Cumans the most having-been-frightened
μή τι δεινὸν καὶ κατ' αὐτῶν ὁ αὐτοκράτωρ νυκτὸς
lest something terrible also against them the autocrat at-night
μελετήσειε, τὴν λείαν πᾶσαν ἀναλαβόμενοι νυκτὸς ᾤχοντο
might-plan the booty all having-taken-up at-night went
τὴν πρὸς τὸν Δάνουβιν φέρουσαν ὁδεύοντες. αὐτὸς δὲ
the to the Danube leading(-road) traveling he and

αὐγαζούσης ἡμέρας φεύγων τὴν τῶν νεκρῶν σωμάτων
dawning day fleeing the of-the dead bodies
δυσωδίαν ἀπάρας ἐκεῖθεν ἔρχεται ἐπί τινα τόπον Καλὰ
stench having-set-out from-there comes to some place Fair
Δένδρα καλούμενον σταδίους δέκα πρὸς τοῖς ὀκτὼ ἀπέχοντα
Trees called stades ten besides the eight distant
τῶν Χοιρηνῶν. ἀπερχόμενον δὲ ἐκεῖσε κατέλαβεν ὁ
from-the Choirenoi going and there reached —
Μελισσηνός. οὐ γὰρ ἔφθασε παραγενέσθαι ἐν τῷ
Melissenos not for he-had-been-first to-be-present in the
καιρῷ τῆς μάχης ἀσχολούμενος τὴν πληθὺν ἐκείνην τῶν
time of-the battle being-busy the multitude that of-the
νεολέκτων ἀποστεῖλαι πρὸς τὸν αὐτοκράτορα. ἀλλήλους
newly-enlisted to-send to the autocrat each-other
τοίνυν ἀσπασάμενοι καὶ συγχαρέντες, ὡς εἰκός, τὸ
therefore having-greeted and having-rejoiced-together as is-likely the
λοιπὸν τῆς ὁδοιπορίας περὶ τῶν συμπεσόντων ἐπὶ τῇ
rest of-the journey about the(-things) having-happened at the
τῶν Σκυθῶν ἥττῃ ὡμίλουν. μεμαθηκὼς δὲ ὁ αὐτοκράτωρ,
of-the Scythians defeat they-conversed having-learned and the autocrat
ὁπηνίκα τὰ Καλὰ Δένδρα κατέλαβε, τὸν δρασμὸν τῶν
when the Fair Trees he-reached the flight of-the
Κομάνων, ὁπόσα τούτοις ἀνῆκε πρὸς λόγον τῶν
Cumans as-much-as to-them belonged in proportion of-the(-things)
συμφωνηθέντων αὐτοῖς, ἐπισάξας ἐν ἡμιόνοις ἀπέστειλε
agreed with-them having-loaded on mules sent
πρὸς αὐτοὺς ἐντειλάμενος σπεῦσαι καταλαβεῖν αὐτοὺς καὶ
to them having-enjoined to-hasten to-overtake them even
πέραθεν εἰ δυνηθεῖεν Δανούβεως καὶ δοῦναι τὰ
beyond if they-should-be-able (the)-Danube and to-give the(-things)
ἀποσταλέντα. βαρὺ γὰρ ἦν αὐτῷ διὰ παντὸς μὴ μόνον
sent heavy for was to-him through all not only

ψεύσασθαι, ἀλλὰ καὶ τὸ δόξαι ψεύσασθαι ὁμιλίαν ἱκανὴν
to-lie but also the to-seem to-lie discourse considerable
πρὸς ἅπαντας περὶ ψεύδους ποιουμένῳ. ἀλλὰ ταῦτα μὲν
to all about lying making but these(-things) indeed
περὶ τῶν πεφευγότων· τοὺς δέ γε λοιποὺς ἑφεπομένους
about those having-fled the and at-least rest following
αὐτῷ εἱστία τὸ λοιπὸν τῆς ἡμέρας δαψιλῶς. δέον δὲ
him he-feasted the rest of-the day abundantly needful and
ἐλογίσατο μὴ τηνικαῦτα τοὺς ἀνήκοντας δοῦναι μισθούς,
he-reckoned not then the due to-give pay
ἀλλὰ μεθεῖναι τοὺς εἰς ὕπνον τραπέντας καταπέψαι τὸν
but to-let those to sleep having-turned to-digest the
οἶνον καὶ οὕτω τὸ φρονοῦν τῆς ψυχῆς συλλεξαμένους ἐν
wine and thus the thinking-part of-the soul having-collected in
ἐπιγνώσει γενέσθαι τοῦ πραττομένου. τῇ μετ' αὐτὴν
recognition to-become of-the(-thing) being-done on-the after it
οὖν μετακαλεσάμενος ἅπαντας οὐ τὰ προϋπεσχημένα
then having-summoned all not the(-things) promised-before
δίδωσι μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα. σκεψάμενος δέ,
he-gives only but also much more having-considered and
ἐπεὶ ἀπολύειν τούτους οἴκαδε ἐβούλετο, μὴ ἐν τῷ ἀπιέναι
since to-release them homeward he-wished lest in the going-away
εἰς προνομὴν σκεδασθέντες οὐ μικρὰν ταῖς κατὰ τὴν ὁδὸν
for foraging scattered not small to-the along the road
παρακειμέναις κωμοπόλεσι τὴν βλάβην ἐπάξωσιν, ὁμήρους
lying-near country-towns the harm they-might-bring hostages
ἐξ αὐτῶν λαμβάνει. αἰτησαμένων δὲ καὶ αὐτῶν τὰ
from them he-takes having-asked and also they the(-things)
κατὰ τὴν ὁδὸν αὐτοῖς ἀσφαλίσασθαι δίδωσιν αὐτοῖς τὸν
along the road for-them to-secure he-gives them —
Ἰωαννάκην (ἀνὴρ δὲ οὗτος ἀνδρείᾳ καὶ φρονήσει διαφέρων)
Ioannakes a-man and this-one in-courage and prudence excelling

τὴν τῶν ἁπάντων οἰκονομίαν ἀναθέμενος καὶ τὴν μέχρις
the of-the all management having-entrusted and the as-far-as
αὐτοῦ τοῦ Ζυγοῦ τῶν Κομάνων εὐθέτησιν. τοιαῦτα μὲν
itself the Zygos of-the Cumans safe-conduct such indeed
οὖν τὰ τοῦ αὐτοκράτορος θείᾳ πάντως προνοίᾳ.
then the(-affairs) of-the autocrat by-divine surely providence
πάντα γοῦν κατὰ τὸ πλῆρες τελέσας τροπαιοφόρος
all at-any-rate in the full having-accomplished trophy-bearing
αὐτὸς νικητὴς πρὸς τὸ Βυζάντιον ἐπανέρχεται Μαΐου
he victor to — Byzantium returns May
παριππεύοντος μηνός. ἀλλὰ τὰ μὲν τῶν Σκυθῶν
riding-by month but the(-affairs) indeed of-the Scythians
ὧδέ πη πέρας ἐχέτω, κἂν ἐκ πολλῶν ὀλίγα μοι
thus somehow end let-them-have even-if from many few by-me
εἴρηται ἄκρῳ δακτύλῳ τοῦ Ἀδριαντικοῦ ἁψαμένη
have-been-said with-the-tip finger of-the Adriatic having-touched
πελάγους. τὰς γὰρ λαμπρὰς τοῦ αὐτοκράτορος νίκας,
sea the for brilliant of-the autocrat victories
τὰς μερικὰς τῶν πολεμίων ἥττας, τὰς καθ' ἕνα τούτου
the partial of-the enemies defeats the one-by one his
ἀνδραγαθίας, τὰ ἐν τῷ μεταξὺ συμπίπτοντα τοῖς
feats-of-valor the(-things) in the meantime happening at-the
τότε καιροῖς καὶ ὅπως πρὸς ἅπαντα ἐποικίλλετό τε καὶ
then times and how toward all-things he-varied-himself both and
διὰ παντοίας μεθόδου διέλυε τὰ συμπίπτοντα δεινά,
through every-kind method dissolved the befalling terrors
οὐδ' ἂν Δημοσθένης ἄλλος ἢ καὶ ὁ ἅπας τῶν ῥητόρων
nor — Demosthenes another or even the whole of-the orators
χορός, οὐδ' ἂν ἡ Ἀκαδημία πᾶσα καὶ ἡ Στοὰ εἰς
chorus nor — the Academy all and the Stoa into

ταὐτὸν συνεληλυθέτην καὶ προὔργου παντὸς τὰς Ἀλεξίου
the-same had-come-together and of-first-importance of-all the of-Alexios
πράξεις ἐποιήσαντο, τούτων ἐφικέσθαι ἐξίσχυσαν.
deeds they-made these to-reach would-have-been-able

XLI · JOHN SUSPECTED

Ariebes the Armenian and the Celt Houmbertopoulos are caught plotting and exiled. Alexios marches west against Bodinos and the Dalmatians and reaches Philippopolis. There a letter from the archbishop of Bulgaria warns that John, duke of Dyrrachion and son of the sebastokrator Isaac, plans rebellion. Torn between love for his brother and fear, Alexios sends Argyros Karatzas with two letters: one summoning John, the other naming Karatzas duke, to be read to the leading men of Dyrrachion so that they help seize John if he refuses.

Οὐ πολλαὶ διῆλθον ἡμέραι τῆς τοῦ βασιλέως εἰς τὰ
not many passed days from-the of-the emperor into the
ἀνάκτορα εἰσελεύσεως, καὶ ὁ Ἀριέβης Ἀρμένιος καὶ
palace entrance and — Ariebes an-Armenian and
ὁ Κελτὸς Οὐμπερτόπουλος (λογάδες οὗτοι ἄνδρες τῶν
the Celt Houmbertopoulos picked-men these men of-the
ἐπιφανῶν Ἀρειμάνιοι) κατὰ τοῦ αὐτοκράτορος μελετήσαντες
illustrious Warlike against the autocrat having-plotted
ἐφωράθησαν πλῆθος οὐκ ἀγεννὲς πρὸς ταυτηνὶ τὴν
were-detected a-multitude not ignoble to this-here the
βουλὴν ἐπισυρόμενοι. καὶ οἱ ἔλεγχοι παρῆσαν καὶ ἡ
plot drawing-in and the proofs were-present and the
ἀλήθεια ἐπαρρησιάζετο. κατάκριτοι δὲ ἤδη καταστάντες οἱ
truth spoke-freely condemned and already having-become the
ἐπίβουλοι δήμευσιν τηνικαῦτα καὶ ὑπερορίαν κατεκρίθησαν
plotters confiscation then and exile were-sentenced

τῶν ἐκ τῶν νόμων ποινῶν τοῦ αὐτοκράτορος σχολὴν
the from the laws penalties the autocrat remission
παντελῆ καταψηφισαμένου. λογοποιουμένην δὲ Κομάνων
complete having-voted being-rumored and of-Cumans
ἔφοδον μανθάνων ὁ αὐτοκράτωρ, ἐκεῖθεν δὲ καὶ τὸν
attack learning the autocrat from-there and also —
Βοδῖνον καὶ αὐτοὺς Δαλμάτας παρασπονδῆσαί τε καὶ
Bodinos and themselves Dalmatians to-break-the-treaty both and
κατὰ τῆς ἡμεδαπῆς χωρῆσαι βουλομένους ἐμερίζετο
against the our-land to-advance wishing he-was-divided
τοῖς λογισμοῖς, πρὸς ὁπότερον ἂν ἀπονεύσειε τῶν
in-the reasonings toward which-of-the-two — he-should-incline of-the
ἐχθρῶν. δέον οὖν αὐτῷ ἐδόκει κατὰ τῶν Δαλματῶν
enemies needful then to-him it-seemed against the Dalmatians
πρώτως ἐξοπλίσασθαι καὶ προκαταλαβεῖν τὰ ἀναμεταξὺ
first to-arm and to-seize-first the between
τῆς ἡμεδαπῆς καὶ αὐτῶν διακείμενα τέμπη καὶ ὡς
the our-land and them lying valleys and as
ἐνὸν ἀσφαλίσασθαι. συναγαγὼν τοίνυν ἅπαντας καὶ
being-possible to-secure having-gathered therefore all and
ἀνακοινωσάμενος τὸ σκοπούμενον, ἐπεὶ συνοῖσον ἅπασι
having-communicated the plan since advantageous to-all
τοῦτ᾽ ἐδόκει, ἔξεισι τῆς μεγαλοπόλεως τὰ κατὰ τὴν
this seemed goes-out from-the great-city the(-affairs) in the
ἑσπέραν προμηθευσόμενος. καὶ ταχὺ τὴν Φιλιππούπολιν
west going-to-provide-for and quickly — Philippopolis
καταλαβὼν καὶ γράμματα δεξάμενος τοῦ τηνικαῦτα
having-reached and letters having-received of-the then
ἀρχιεπισκόπου Βουλγαρίας χρηματίζοντος περὶ τοῦ δουκὸς
archbishop of-Bulgaria being about the duke
Δυρραχίου Ἰωάννου τοῦ υἱοῦ τοῦ σεβαστοκράτορος
of-Dyrrachion John the son of-the sebastokrator

διαβεβαιούμενα ἀποστασίαν ἐκεῖνον ὠδίνειν ἀθυμῶν διὰ
affirming rebellion that-one to-travail-with despondent through
πάσης νυκτὸς καὶ ἡμέρας ἦν πὴ μὲν διὰ τὸν
all night and day he-was in-one-way indeed because-of the
ἐκείνου πατέρα ἀναβαλλόμενος τὴν τῆς ὑποθέσεως ἐξέτασιν,
of-that-one father putting-off the of-the matter examination
πὴ δὲ καὶ δεδιώς, μὴ ἅπερ ἡ φήμη λέγει οὐ ψεύσεται.
in-another and also fearing lest what the rumor says not will-prove-false
καὶ ἐπεὶ μειράκιον ἦν ὁ Ἰωάννης, ὡς ἐπίπαν τὰς τῶν
and since a-youth was — John as on-the-whole the of-the
τοιούτων ὁρμὰς ἀκαθέκτους γινώσκων ἐδεδίει, μή τι
such impulses unrestrainable knowing he-feared lest something
νεωτερίσειε καὶ λύπης ἀφορήτου ἀμφοῖν τῷ τε πατρὶ καὶ
he-might-innovate and of-grief unbearable to-both the both father and
θείῳ πρόξενος γένοιτο. δεῖν οὖν ἐλογίσατο διὰ πάσης
uncle causer might-become to-be-needful then he-reckoned through every
μεθόδου σπεῦσαι τὴν ἐκείνου σφῆλαι βουλήν. ἐκήδετο
method to-hasten the of-that-one to-trip plan he-cared
γὰρ τούτου, ὁπόσον ἄν τις εἴποι. μεταπεμψάμενος οὖν
for for-him as-much-as — anyone might-say having-summoned then
τὸν τότε μέγαν ἑταιρειάρχην Ἀργυρὸν τὸν Καρατζάν,
the then great betaireiarch Argyros the Karatzas
Σκύθην μὲν ὄντα, φρονιμώτατον δὲ καὶ ἀρετῆς καὶ
a-Scythian indeed being most-prudent but both of-virtue and
ἀληθείας ἐπιμελούμενον, διττὰς ἐπιδίδωσιν αὐτῷ γραφάς,
truth caring double gives him letters
τὴν μὲν πρὸς τὸν Ἰωάννην τοιαῦτα διαλαμβάνουσαν
the(-one) indeed to — John such-things comprising
“ἡ μὲν βασιλεία μου βαρβαρικὴν διὰ τῶν κλεισουρῶν
the indeed majesty my barbarian through the passes
ἔλευσιν κατ’ αὐτῆς μεμαθηκυῖα ἐξεληλύθει τῆς
coming against it having-learned had-gone-out from-the(-city)

Κωνσταντίνου ἐφ' ᾧ τὰ μεσαίχμια τῆς Ῥωμαίων ἀρχῆς
of-Constantine for which the borderlands of-the of-Romans rule
ἀσφαλίσασθαι. δέον οὖν ἐστι καὶ αὐτόν σε παραγενέσθαι
to-secure needful then it-is also yourself you to-come
τὰ κατὰ τὴν ὑπό σε ἀρχὴν ἀναδιδάξοντα (δέδια
the(-affairs) concerning the under you rule going-to-inform I-fear
γὰρ καὶ τὸν Βολκάνον, μὴ καὶ αὐτὸς ἐναντία καθ'
for also — Bolkanos lest also he contrary-things against
ἡμῶν φρονήσας μελετήσῃ), πρὸς δὲ καὶ τὰ κατὰ
us having-thought might-plan besides and also the(-affairs) concerning
τὴν Δαλματίαν ἀναγγελεῖν πρὸς ἡμᾶς καὶ περὶ αὐτοῦ
— Dalmatia to-report to us and about himself
τοῦ Βολκάνου, εἰ ταῖς εἰρηνικαῖς ἐμμένει σπονδαῖς (καὶ
— Bolkanos whether in-the peaceful he-abides treaties and
γὰρ οὐκ ἀγαθαί μοι περὶ αὐτοῦ ἀγγελίαι καθ' ἑκάστην
for not good to-me about him reports by each(-day)
κομίζονται), ἵνα σαφέστερόν τι μεμαθηκότες καὶ πρὸς
are-brought that clearer something having-learned also against
τὰς αὐτοῦ ἐπὶ πλέον παρασκευασώμεθα μηχανὰς καί σοι
the his on more prepare-ourselves devices and to-you
τὸ δέον ὑποθέμενοι αὖθις πρὸς τὸ Ἰλλυρικὸν ἐκπέμψωμεν,
the needful having-suggested again to — Illyricum we-may-send-out
ὅπως ἐξ ἑκατέρου τοῖς ἐχθροῖς μαχόμενοι τὴν νικῶσαν
so-that from each-side the enemies fighting the winning(-vote)
θεοῦ ἐπαρήγοντος σχοίημεν." ταῦτα μὲν ἡ πρὸς τὸν
God helping we-may-have these(-things) indeed the to —
Ἰωάννην γραφὴ διελάμβανεν· ἡ δέ γε πρὸς τοὺς
John letter comprised the and at-least to the
λογάδας τῶν ἐποίκων Δυρραχίου τοιαῦθ' ὑπηγόρευεν "ἐπεὶ
picked-men of-the settlers of-Dyrrachion such-things dictated since
καθ' ἡμῶν μελετᾶν τὸν Βολκάνον αὖθις μεμαθηκότες
against us to-plot — Bolkanos again having-learned

τῆς Βυζαντίδος ἐξεληλύθειμεν κατασφαλισόμενοί τε τὰ
— *from-Byzantis we-had-gone-out going-to-secure both the*
ἐν μεσαιχμίῳ τῆς τε ἡμεδαπῆς καὶ τῶν Δαλματῶν
in between of-the both our-land and the Dalmatians
διακείμενα τέμπη, ἅμα δὲ καὶ τὰ κατ᾽ αὐτὸν
lying valleys together and also the(-affairs) concerning him
καὶ τοὺς Δαλμάτας ἀκριβώσασθαι, διά τοι ταῦτα
and the Dalmatians to-ascertain because-of surely these(-things)
δέον κρίναντες μετακαλέσασθαι τὸν ὑμέτερον δοῦκα καὶ
needful having-judged to-summon the your duke and
ποθούμενον ἀνεψιὸν τοῦ κράτους ἡμῶν τουτονὶ τὸν τὴν
beloved nephew of-the sovereignty our this-man the(-one) the
ἡμετέραν ἐγχειρίζοντα ὑμῖν γραφὴν ἐξαπεστείλαμεν δοῦκα
our handing to-you letter we-have-sent-off as-duke
τοῦτον προχειρισάμενοι. δέξασθε αὐτὸν καὶ ὑμεῖς καὶ εἰς
him having-appointed receive him both you and in
πᾶν τὸ παρ᾽ αὐτοῦ προσταττόμενον ὑπείκετε.” ταύτας οὖν
all the by him ordered yield these then
τὰς γραφὰς ἐγχειρίσας τῷ Καρατζᾷ ἐνετείλατο ἀπελθόντα
the letters having-handed — to-Karatzas he-enjoined having-gone
πρῶτα μὲν ἐγχειρίσαι τῷ Ἰωάννῃ τὴν πρὸς αὐτὸν γραφὴν
first indeed to-hand — to-John the to him letter
καὶ εἰ μὲν αὐθαιρέτως ἕπεται, ἐκεῖνον μὲν ἐκεῖθεν μετ᾽
and if indeed of-his-own-accord he-follows that-one indeed from-there with
εἰρήνης προπέμψαι, αὐτὸν δὲ τὴν φρουρὰν τῆς χώρας
peace to-send-off he and the guard of-the land
ἀναδέξασθαι, μέχρις ἂν ἐκεῖνος αὖθις ἐπανέλθοι· εἰ δὲ
to-take-up until — that-one again should-return if and
ἀντιτείνει καὶ μὴ πείθεται, μεταπέμψασθαι τοὺς ὑπερέχοντας
he-resists and not is-persuaded to-summon the leading

τῶν Δυρραχιτῶν καὶ τὴν ἑτέραν ὑπαναγνῶναι γραφὴν ἐφ᾽
of-the Dyrrachians and the other to-read letter for
ᾧ συνάρασθαι αὐτῷ ἐπὶ τὸ τὸν Ἰωάννην κατασχεῖν.
which to-help him for the — John to-seize

XLII · THE BROTHERS RECONCILED

Isaac rides from Constantinople and arrives while Alexios sleeps. When the letter-carrier announces that John is coming, Isaac, freed of his suspicion, turns on Adrian, whom he blames for the slander, and threatens to strip his beard. John arrives and hears the charges, but Alexios refuses to examine him for his father's sake. He sends Isaac home to their mother, and John back to Dyrrachion.

Ταῦτα ἐνωτισθεὶς Ἰσαάκιος ὁ σεβαστοκράτωρ ἐν
these(-things) having-heard Isaac the sebastokrator in
Κωνσταντινουπόλει διατρίβων σπουδαίως ἐξῄει καὶ
Constantinople staying zealously went-out and
ἐπὶ δυσὶ νυχθημέροις καταλαμβάνει τὴν Φιλιππούπολιν.
in two nights-and-days reaches — Philippopolis
ὑπνώττοντος δὲ τοῦ βασιλέως εἴσω τῆς βασιλικῆς σκηνῆς
sleeping and the emperor inside the imperial tent
ἀψοφητὶ εἰσελθὼν εἰς τὴν ἑτέραν κλίνην τοῦ ἀδελφοῦ
noiselessly having-entered onto the other couch of-the brother
καὶ βασιλέως κατακλιθεὶς καὶ αὐτὸς ὕπνωττε τοὺς
and emperor having-lain-down also he slept those
κατευνάζοντας τὸν αὐτοκράτορα διὰ τῆς χειρὸς ἡσυχάζειν
lulling the autocrat with the hand to-keep-quiet
ἐπιτάξας. ὡς γοῦν ὁ βασιλεὺς τοῦ ὕπνου ἀνέθορε καὶ
having-ordered when at-any-rate the emperor from-the sleep leapt-up and
τὸν ἀδελφὸν παρ᾽ ἐλπίδας ἐθεάσατο, ἡσυχάζων τέως
the brother beyond hopes saw keeping-quiet for-the-time

ἦν καὶ τοὺς παρατυχόντας αὐτὸ τοῦτο ποιεῖν καὶ αὐτὸς
he-was and those present itself this to-do also he
ἐκέλευεν. ἐπεὶ δὲ καὶ ὁ σεβαστοκράτωρ ἔξυπνος γενόμενος
ordered since and also the sebastokrator awake having-become
τὸν ἀδελφὸν καὶ βασιλέα γρηγοροῦντα ἐθεάσατο κἀκεῖνος
the brother and emperor awake saw and-that-one
ἐνιδὼν αὐτόν, προσελθόντες ἀμφότεροι ἀλλήλους
having-looked-at him having-approached both each-other
κατησπάζοντο. εἶτα ὁ μὲν βασιλεὺς ἐπυνθάνετο, τί ποτε
embraced then the indeed emperor asked what ever
ἄρα καὶ βούλοιτο καὶ τίς ἡ αἰτία τῆς αὐτοῦ ἐλεύσεως.
after-all also he-might-want and what the cause of-the his coming
ἐκεῖνος δὲ "σοῦ ἕνεκα" ἔφη. καὶ ὃς "μάτην ἑαυτὸν
he and of-you for-the-sake he-said and he in-vain yourself
συντείνας τοσοῦτον κεκοπίακας". ὁ δὲ σεβαστοκράτωρ
having-strained so-much have-toiled the and sebastokrator
τέως οὐκ ἀντεφθέγξατο, ἀλλ' ὀνειρώττων ἦν τὰ
for-the-time not answered but dreaming was the(-things)
ἀπὸ τοῦ Δυρραχίου μετὰ τοῦ προπεμφθέντος παρ' αὐτοῦ
from — Dyrrachion with the sent-ahead by him
κομισθησόμενα μηνύματα. καὶ γὰρ ἅμα τῷ ἐνωτισθῆναι
going-to-be-brought messages and for as-soon-as the to-hear
τὰ θρυλλούμενα περὶ τοῦ υἱοῦ αὐτοῦ δισύλλαβον
the(-things) noised about the son his a-two-syllable
ἐγχαράξας πρὸς αὐτὸν γράμμα παρεκελεύσατο θᾶττον
having-written to him letter he-ordered more-quickly
πρὸς τὸν αὐτοκράτορα φοιτῆσαι, ὡς καὶ αὐτὸν ἐπ' αὐτῷ
to the autocrat to-go as also himself for itself
τούτῳ τοῦ Βυζαντίου ἐξεληλυθότα πρὸς Φιλιππούπολιν
this — from-Byzantium having-gone-out to Philippopolis
ἐπείγεσθαι ἐφ' ᾧ τὰ κατ' αὐτοῦ πρὸς τὸν
to-hasten for which the(-things) against him to the

αὐτοκράτορα εἰσηγηθέντα κατασεῖσαι τὰ εἰκότα πρὸς τὸν
autocrat reported to-shake the likely-things to the
ἀδελφὸν καὶ βασιλέα ὁμιλήσαντα, ἅμα δὲ καὶ τὴν αὐτοῦ
brother and emperor having-spoken together and also the his
πρὸς αὐτὸν ἐγκαρτερῆσαι ἄφιξιν. ὑποχωρήσας δὲ ἀπὸ τοῦ
to him to-await arrival having-withdrawn and from the
βασιλέως εἰς τὴν ἀποτεταγμένην αὐτῷ σκηνὴν ἄπεισιν.
emperor to the assigned to-him tent goes-away
παραχρῆμα δὲ καὶ ὁ πρὸς τὸν Ἰωάννην ἀποσταλεὶς
immediately and also the to — John sent
γραμματοκομιστὴς δρομαῖος εἴσεισιν ἐκεῖθεν ἐπανελθὼν
letter-carrier running enters from-there having-returned
τὴν τοῦ Ἰωάννου ἀπαγγέλλων ἔλευσιν. τῆς ὑποψίας οὖν
the — of-John announcing coming from-the suspicion then
τηνικαῦτα ὁ σεβαστοκράτωρ ἀπαλλαγεὶς καὶ κρείττοσιν
at-that-time the sebastokrator having-been-freed and with-better
ἀναρρώσας ἑαυτὸν λογισμοῖς θυμοῦ πλησθεὶς κατὰ τῶν
having-encouraged himself reasonings with-anger filled against those
πρώτως εἰσηγησαμένων τὰ κατὰ τοῦ υἱοῦ αὐτοῦ
first having-reported the(-things) against the son his
τεταραγμένος πρὸς τὸν βασιλέα εἰσῄει. ὁ δὲ βασιλεὺς
troubled to the emperor went-in the and emperor
τοῦτον θεασάμενος ἐγνώκει μὲν παρευθὺ τὴν αἰτίαν, ἠρώτα
him having-beheld knew indeed at-once the cause he-asked
δ' ὅμως, ὅπως ἔχοι. ὁ δὲ "κακῶς" ἔφη "ἐξ αἰτίας σῆς".
but nevertheless how he-was he and badly he-said from cause yours
οὐδὲ γὰρ ὅλως τὸν θυμὸν περιυλακτοῦντα χαλιναγωγεῖν
not for at-all the anger barking-round to-rein
ἠπίστατο, παρεφέρετο δὲ καὶ ὑπὸ ψιλοῦ, εἰ ἔτυχε,
he-knew-how he-was-carried-away and even by bare if it-happened
ῥήματος. ἐπὶ τούτοις δὲ καὶ ἄλλο τι προσέθετο λέγων
word on these-things and also another something he-added saying

"οὐ τοσοῦτον κατὰ τῆς σῆς λελύπημαι βασιλείας, ὅσον
not so-much against the your I-am-grieved majesty as
κατὰ τουτουὶ" τὸν Ἀδριανὸν τῷ δακτύλῳ ὑποδείξας
against this-here — Adrian with-the finger having-pointed
"καταψευδομένου". πρὸς ταῦτα ὁ πραΰς ἐκεῖνος καὶ ἡδὺς
slandering to these(-things) the gentle that and sweet
βασιλεὺς οὐδ' ὁτιοῦν ἐφθέγξατο. ἐγίνωσκε γάρ, ὅπως
emperor not-even anything-whatever uttered he-knew for how
ζέοντα τὸν θυμὸν τἀδελφοῦ καταπαύσει. συγκαθεσθέντες
seething the anger of-the-brother he-will-calm having-sat-together
οὖν ἄμφω μετὰ τοῦ Μελισσηνοῦ Νικηφόρου τοῦ καίσαρος
then both with — Melissenos Nikephoros the caesar
καί τινων τῶν ἐξ αἵματος καὶ ἀγχιστείας προσηκόντων
and some of-those of blood and marriage related
αὐτοῖς μόνοι πρὸς ἀλλήλους ὡμίλουν περὶ τῶν κατὰ τοῦ
to-them alone to each-other conversed about the(-things) against —
Ἰωάννου ῥηθέντων. ὡς δὲ τὸν Μελισσηνὸν καὶ τὸν ἴδιον
John said as and — Melissenos and the own
ἀδελφὸν Ἀδριανὸν κατατρέχοντας ἐσχηματισμένως τοῦ ἰδίου
brother Adrian running-down in-a-veiled-way of-the own
υἱοῦ ἑώρα, αὖθις τὸν θυμὸν παφλάζοντα μὴ δυνηθεὶς
son he-saw again the anger seething not having-been-able
κατασχεῖν δριμὺ πρὸς τὸν Ἀδριανὸν ἀτενίσας ψιλῶσαι
to-check keenly at — Adrian having-gazed to-strip
τὸν αὐτοῦ πώγωνα ἠπειλήσατο καὶ διδάξαι μὴ προφανῶς
the his beard he-threatened and to-teach not openly
ψευδόμενον τοιούτων συγγενῶν ἀποστερῆσαι τὸν βασιλέα
lying of-such kinsmen to-deprive the emperor
ἐπιχειρεῖν. ἐν τούτοις ὁ Ἰωάννης κατέλαβε καὶ παραχρῆμα
to-attempt in these-things — John arrived and immediately
εἴσω τῆς βασιλικῆς σκηνῆς εἰσάγεται καὶ πάντων τῶν
inside the imperial tent is-brought and all the(-things)

κατ᾽ αὐτοῦ λαληθέντων ἀκούει. οὐ μέντοι γε εἰς ἐξέτασιν
against him spoken hears not however at-least to examination
ὅλως ἄγεται, ἀλλ᾽ ὁ κατάκριτος ἐλεύθερος ἵσταται τοῦ
at-all is-led but the condemned free stands the
βασιλέως πρὸς αὐτὸν εἰπόντος "πρὸς τὸν σὸν πατέρα
emperor to him having-said to the your father
καὶ ἀδελφὸν ἐμὸν ἀφορῶν οὐδ᾽ ἀκοῦσαι τῶν κατὰ
and brother my looking not-even to-hear the(-things) against
σοῦ λαληθέντων ἀνέχομαι. ἔσο τοίνυν ἀμερίμνως διάγων
you spoken I-endure be therefore free-from-care living
ὡς τὸ πρότερον." ταῦτα μὲν οὖν ἅπαντα ἐντὸς τῆς
as the before these(-things) indeed then all inside the
βασιλικῆς ἐρρήθη σκηνῆς μόνων τῶν συγγενῶν, ὀθνείου
imperial were-said tent only the kinsmen stranger
δὲ οὐδενὸς παρόντος. οὕτω γοῦν τῶν λαληθέντων ἢ
and none being-present thus at-any-rate the(-things) spoken or
καὶ μελετηθέντων ἴσως κατευνασθέντων τὸν ἴδιον ἀδελφόν,
also plotted perhaps having-been-lulled the own brother
τὸν σεβαστοκράτορά φημι Ἰσαάκιον, μετακαλεσάμενος
the sebastokrator I-mean Isaac having-summoned
σὺν αὐτῷ τῷ Ἰωάννῃ καὶ υἱῷ αὐτοῦ πολλὰ πρότερον
with him — John and son his much first
ὁμιλήσας ἔφη πρὸς τὸν σεβαστοκράτορα "σὺ μὲν
having-conversed he-said to the sebastokrator you indeed
χαίρων ἄπιθι πρὸς τὴν βασιλεύουσαν τὰ καθ᾽
rejoicing go-away to the reigning(-city) the(-affairs) concerning
ἡμᾶς τῇ μητρὶ ἀνακοινωσόμενος. ἐγὼ δὲ τουτονὶ" τὸν
us to-the mother going-to-communicate I and this-here —
Ἰωάννην φησὶν ὑποδείξας "αὖθις, ὡς ὁρᾷς, ἐκπέμπω πρὸς
John he-says having-pointed again as you-see send-out to
τὸ Δυρράχιον ἐφ᾽ ᾧ τὰ τῆς ἰδίας ἀρχῆς ἐπιμελῶς
— Dyrrachion for which the(-affairs) of-the own rule carefully

ἐνεργεῖν.” οὕτως οὖν ἀπ᾽ ἀλλήλων διακριθέντες ὁ μὲν
to-carry-out thus then from each-other having-separated the(-one) indeed
τῆς πρὸς τὸ Βυζάντιον τῇ μετ᾽ αὐτὴν εἶχετο,
to-the(-road) to — Byzantium on-the(-day) after it held
ὁ δὲ πρὸς τὸ Δυρράχιον στέλλεται.
the(-other) and to — Dyrrachion is-dispatched

XLIII · GABRAS AND THE HOLY NAIL

Alexios makes Theodore Gabras duke of Trebizond, which Gabras had won from the Turks. His son Gregory's betrothal to a daughter of Isaac is broken off on grounds of kinship, but Alexios keeps the boy, intending him for one of Anna's sisters. Gabras abducts Gregory at the Pharos, but is persuaded to give him back. Gregory, resenting his tutor, plots to flee with George of Dekanos and Kamytzes and steals the holy nail to swear by. He is betrayed and imprisoned at Philippopolis.

Οὐ μέχρι δὲ τούτου τὰ κατὰ τὸν αὐτοκράτορα
not as-far-as and this the(-affairs) concerning the autocrat
ἔστη. ἀλλ᾽ ἐπεὶ Θεόδωρος ὁ Γαβρᾶς ἐνδημήσας ἦν ἐν τῇ
stood but since Theodore the Gabras having-come-home was in the
βασιλευούσῃ, γινώσκων τὸ τούτου ὀμβριμοεργὸν καὶ περὶ
reigning(-city) knowing the his vigor and about
τὰς πράξεις ὀξὺ βουλόμενος τοῦτον ἀπελάσαι τῆς
the deeds sharpness wishing him to-drive-out from-the
πόλεως δοῦκα Τραπεζοῦντος προὐβάλλετο πάλαι ταύτην
city as-duke of-Trebizond he-put-forward long-ago it
ἀπὸ τῶν Τούρκων ἀφελόμενον. ὥρμητο μὲν γὰρ οὗτος
from the Turks having-taken had-come indeed for this-man
ἐκ Χαλδίας καὶ τῶν ἀνωτέρω μερῶν, στρατιώτης δὲ
from Chaldia and the higher parts a-soldier and
περιφανὴς γενόμενος ἐπί τε φρονήσει καὶ ἀνδρείᾳ ὑπερέχων
conspicuous having-become in both prudence and courage surpassing

ἁπάντων, μικροῦ καὶ μηδέποτε ἔργου ἀψάμενος καὶ
all almost also never a-task having-undertaken and
ἀτυχήσας, ἀλλὰ πάντων ἀεὶ τῶν πολεμίων κρατῶν καὶ
having-failed but all always the enemies mastering and
αὐτὴν δὴ τὴν Τραπεζοῦντα ἑλὼν καὶ ὡς ἴδιον λάχος
itself indeed — Trebizond having-taken and as own allotment
ἑαυτῷ ἀποκληρωσάμενος ἄμαχος ἦν. τούτου τὸν υἱὸν
for-himself having-allotted invincible was his the son
Γρηγόριον ὁ σεβαστοκράτωρ Ἰσαάκιος ὁ Κομνηνὸς εἰς
Gregory the sebastokrator Isaac the Komnenos to
μίαν τῶν θυγατέρων αὐτοῦ εἰσῳκίσατο. ἀνήβων δὲ ἄμφω
one of-the daughters his took-into-his-house under-age and both
τῶν παίδων ὄντων γαμήλια μόνα σύμφωνα ἀναμεταξὺ
the children being marriage only agreements between
προέβησαν. εἶτα τὸν υἱὸν αὐτοῦ Γρηγόριον εἰς χεῖρας
went-forward then the son his Gregory into hands
τοῦ σεβαστοκράτορος παραθέμενος, ἵν', ὁπηνίκα νομίμου
of-the sebastokrator having-entrusted that when lawful
ἅψωνται οἱ παῖδες ἡλικίας, καὶ ἡ μνηστεία τελεσθῇ,
should-touch the children age and the betrothal should-be-completed
αὐτὸς συνταξάμενος τῷ βασιλεῖ εἰς τὴν ἰδίαν ἐπανῄει
he having-taken-leave of-the emperor to the own returned
χώραν. τῆς δὲ ὁμευνέτιδος αὐτοῦ μετ' οὐ πολὺ τὸ κοινὸν
land the and bed-partner his after not long the common
ἀποδεδωκυίας χρέος ἄλλην αὖθις ἐξ Ἀλανῶν ἠγάγετο
having-paid debt another again from Alans he-married
εὐγενεστάτην. ἔτυχε δὲ τήν τε τοῦ σεβαστοκράτορος
most-noble it-happened and the both of-the sebastokrator
ὁμευνέτιν καὶ ἣν ὁ Γαβρᾶς ἔλαβε δυεῖν ἀδελφοῖν
bed-partner and the-one-whom — Gabras took of-two brothers
θυγατέρας εἶναι. τούτου δήλου γεγονότος, ἐπεὶ ἀπό τε
daughters to-be this plain having-become since from both

τῶν νόμων ἀπό τε τῶν κανόνων ἡ τῶν παίδων ἐκωλύετο
the laws from and the canons the of-the children was-prevented
συνάφεια, διεσπάσθη τὸ τοιοῦτον συνάλλαγμα. γινώσκων
union was-torn-apart the such agreement knowing
δὲ ὁ βασιλεύς, ὁποῖος ὁ Γαβρᾶς στρατιώτης ἐστὶ
and the emperor of-what-sort — Gabras a-soldier is
καὶ ὁπόσα πράγματα συνταράττειν δύναται, οὐκ ἤθελε
and how-many affairs to-confound can not wished
τὸν υἱὸν αὐτοῦ Γρηγόριον διασπασθέντος τοῦ τοιούτου
the son his Gregory having-been-torn-apart the such
συναλλάγματος παλινδρομῆσαι πρὸς αὐτόν, ἀλλὰ κατέχειν
agreement to-run-back to him but to-keep
τοῦτον εἰς τὴν βασιλεύουσαν δυεῖν ἕνεκα, ἵν' ἅμα μὲν
him in the reigning(-city) of-two for-the-sake that at-once indeed
ὡς ὅμηρον αὐτὸν παρακατέχοι, ἅμα δὲ καὶ τὴν τοῦ
as hostage him he-might-detain at-once and also the —
Γαβρᾶ εὔνοιαν ἐπισπάσαιτο, κἀντεῦθεν, ἐὰν πονηρόν τι
of-Gabras goodwill he-might-draw and-thence if wicked something
βούληται, ἀπόσχηται τοῦ τοιούτου. μιᾷ γοῦν τῶν
he-wishes he-might-abstain from-the such to-one at-any-rate of-the
ἐμῶν ἀδελφῶν τὸν Γρηγόριον συνάψαι ἐβούλετο. διά
my sisters — Gregory to-join he-wished because-of
τοι ταῦτα ὑπερετίθετο τὴν τοῦ παιδὸς ἀποστολήν.
surely these(-things) he-put-off the of-the boy sending
καταλαβὼν δὲ αὖθις ὁ Γαβρᾶς τὴν βασιλίδα τῶν πόλεων
having-reached and again — Gabras the queen of-the cities
καὶ μηδὲν τῶν παρὰ τοῦ αὐτοκράτορος μελετωμένων
and nothing of-the(-things) by the autocrat planned
συνεὶς ἐσκόπει τὸν ἴδιον υἱὸν λεληθότως ἀναλαβέσθαι.
having-understood considered the own son secretly to-take-up
εἶχε δὲ τέως τὸ βεβουλευμένον ἀνέκφορον, κἂν ὁ
he-held and for-the-time the plan unspoken even-if the

αὐτοκράτωρ παρῃνίσσετό τι καὶ παρενέφαινε αὐτῷ
autocrat hinted something and indicated to-him
περὶ τοῦ σκοπουμένου. ὁ δὲ εἴτε μὴ γνοὺς εἴτε καὶ
about the aim he and whether not having-known or also
ἀκηδιάσας διὰ τὴν πρὸ μικροῦ γεγονυῖαν τοῦ τοιούτου
having-been-vexed because-of the before a-little having-happened of-the such
κήδους διάζευξιν οὐκ οἶδ' ὅπως ᾐτεῖτο τὸν υἱὸν
marriage-alliance separation not I-know how asked the son
δοθῆναί οἱ ἐπαναστρέφοντι. ὁ δὲ αὐτοκράτωρ ἀνένευε
to-be-given to-him returning the and autocrat refused
πρὸς τοῦτο. σχηματιζόμενος δὲ ὁ Γαβρᾶς ἑκοντὶ τοῦτον
to this pretending and — Gabras willingly him
καταλιμπάνειν καὶ τῇ τοῦ αὐτοκράτορος τὰ κατὰ
to-leave and to-the of-the autocrat the(-affairs) concerning
τὸ παιδίον ἀναθέσθαι γνώμῃ, ἐπεὶ συνταξάμενος αὐτῷ τοῦ
the child to-entrust mind since having-taken-leave of-him —
Βυζαντίου ἀπάρτι ἐξιέναι ἔμελλεν, ὑπεδέχθη παρὰ τοῦ
from-Byzantium forthwith to-go-out he-was-about he-was-received by the
σεβαστοκράτορος διὰ τὸ παρακολουθῆσαν κῆδος
sebastokrator because-of the ensuing marriage-alliance
καὶ ἣν πρὸς αὐτὸν ἐκ ταυτησὶ τῆς αἰτίας ἔσχε συνήθειαν,
and which toward him from this-here the cause he-had intimacy
ἔνθα τὸ τοῦ μεγαλομάρτυρος Φωκᾶ τέμενος ἵδρυται·
where the of-the great-martyr Phokas precinct is-founded
προάστειόν τι τοῦτο περὶ τὴν Προποντίδα διακείμενον
a-suburb some this about the Propontis lying
περικαλλές. δαψιλῶς οὖν αὐτοῦ που εὐωχηθέντες ὁ μὲν
very-beautiful abundantly then there somewhere having-feasted the indeed
σεβαστοκράτωρ πρὸς τὸ Βυζάντιον ἐπανῄει, ὁ δὲ τὸν υἱὸν
sebastokrator to — Byzantium returned he and the son
αὐτοῦ ᾐτεῖτο παραχωρηθῆναί οἱ καὶ τῇ μετ' αὐτὴν
his asked to-be-granted to-him also on-the after it

συνεῖναι αὐτῷ. ὁ δ' εὐθὺς κατένευεν. ὁ δὲ πολλάκις
to-be-with him he and at-once assented — and many-times
ῥηθεὶς Γαβρᾶς, ἐπεὶ τῇ μετ' αὐτὴν χωρίζεσθαι ἤδη
above the Zygos at — Sphentzanion stood those and
ἀμφὶ τὸν Ἰωάννην τούτους θεασάμενοι ὀλίγοι ὄντες
about — John them having-seen few being
μετὰ τοσούτων μάχεσθαι μὴ δυνάμενοι ἐβουλεύσαντο εἰς
with so-many to-fight not being-able planned to
τοὐπίσω διαπερᾶσαι τὸν ποταμόν. τούτου δὲ γεγονότος
the-rear to-cross the river this and having-happened

καταλαμβάνουσι τὸ Λιπένιον ὡσεὶ δώδεκα σταδίους τούτου
they-reach — Lipenion about twelve stades from-it
ἀπέχον· ἐπὶ πλέον δ᾽ ἀντέχειν τοὺς πλείστους ἀπολωλεκὼς
being-distant for more and to-hold-out the most having-lost
μὴ δυνάμενος τὴν ὡς πρὸς τὴν βασιλεύουσαν ἀνεζήτησε·
not being-able the(-road) as toward the reigning(-city) he-sought
κᾆθ᾽ οὕτως τεθαρρηκὼς ὁ Βολκάνος ὡς μή τινος τοῦ
and-then thus having-taken-courage — Bolkanos as not any of-the
ἀντικαθισταμένου περιλειφθέντος ἐλήζετο τὰς παρακειμένας
resisting having-been-left plundered the neighboring
πόλεις καὶ χώρας. καὶ τῶν Σκοπίων τὴν ἔξω χώραν
cities and lands and — of-Skopia the outside land
τελείως ἠρίπωσε, τὸ δέ τι καὶ κατέκαυσεν. οὐ μέχρι
completely demolished partly and somewhat also burned not as-far-as
δὲ τούτου, ἀλλὰ καὶ τὸν Πόλοβον καταλαβὼν καὶ ἄχρι
and this but also — Polobos having-seized and as-far-as
Βρανέας φθάσας καὶ δῃώσας ἅπαντα πολλήν τε λείαν
Branea having-reached and having-ravaged all much and booty
ἐκεῖθεν ἀφελόμενος εἰς τὴν οἰκείαν ὑπέστρεψε χώραν.
from-there having-taken to the own returned land

Alexios marches out again. Nikephoros Diogenes joins him at Daphnoution and pitches his tent beside the emperor's. Philokales warns of danger, but Alexios refuses to give Diogenes a pretext. At midnight Diogenes comes to the open door with a sword, but the maid fanning the sleeping emperor and empress makes him tremble and put off the murder. At Pentegostis, the estate of the Porphyrogennetos Constantine, Tatikios bars Diogenes from the bath; the plotter plans to flee to the empress Maria's estates.

Ταῦτα ὁ βασιλεὺς μεμαθηκὼς οὐκέτ' ἀνεκτῶς εἶχεν, ἀλλ'
these(-things) the emperor having-learned no-longer bearably was but
εὐθὺς αὖθις ἐξωπλίσατο μὴ πάνυ τι μηδὲ τοῦ αὐλητοῦ
at-once again armed not very at-all nor of-the piper
Τιμοθέου πρὸς τοῦτο δεόμενος καθάπερ Ἀλέξανδρος
Timotheos for this needing as Alexander
περιμείνας τὸν ὄρθιον νόμον. αὐτός τε οὖν ὁ αὐτοκράτωρ
having-waited-for the orthian strain he both then the autocrat
περιθέμενος ὅπλα καὶ τοὺς ἄλλους ὁπλίσας τοὺς τότε
having-put-on arms and the others having-armed those then
παρατυχόντας τῆς κατευθὺ Δαλματίας φερούσης εἴχετο
present the straight-for Dalmatia leading(-road) held
σπεύδων τὰ μὲν φθάσαντα ἐριπωθῆναι τῶν κάστρων
hastening the(-ones) indeed having-been-first to-be-demolished of-the fortresses
ἀνεγεῖραι αὖθις καὶ εἰς τὸ πρότερον ἀποκαταστῆσαι
to-raise again and to the former to-restore
σχῆμα καὶ ἀντίποινα τῶν παρ' αὐτοῦ πεπραγμένων ἐκ
form and requital of-the by him done in
περιουσίας κατ' αὐτοῦ διαπράξασθαι. ἀπάρας οὖν τῆς
abundance against him to-accomplish having-set-out then from-the
μεγαλοπόλεως καὶ τὸ Δαφνούτιον καταλαβών (πόλις δὲ
great-city and — Daphnoution having-reached city and

τοῦτο παλαιὰ τῆς Κωνσταντίνου σταδίους ἀπέχουσα
this ancient from-the(-city) of-Constantine stades distant
τεσσαράκοντα) καὶ τοὺς μήπω ἐφθακότας τῶν συγγενῶν
forty and those not-yet having-arrived of-the kinsmen
ἐκδεχόμενος αὐτοῦ που ἐγκαρτερεῖ. τῇ γοῦν μετ᾽
awaiting there somewhere he-stays on-the at-any-rate after
αὐτὴν καταλαμβάνει ὁ Διογένης Νικηφόρος πλήρης θυμοῦ
it arrives — Diogenes Nikephoros full of-anger
καὶ φρονήματος· τῷ συνήθει δὲ χρώμενος προσωπείῳ τὴν
and of-arrogance the customary and using mask the
ἀλωπεκῆν περιεβέβλητο καὶ τὴν ὄψιν χαριεστέραν διατιθεὶς
fox's-skin he-had-put-on and the face more-gracious arranging
τῷ βασιλεῖ προσφέρεσθαι ἐλευθέρως ἐσχηματίζετο. τὴν
toward-the emperor to-bear-himself freely he-pretended the
μέντοι σκηνὴν οὐ τῷ συνήθει ἀποστήματι τοῦ βασιλικοῦ
however tent not at-the usual distance from-the imperial
κοιτῶνος ἐπήξατο, ἀλλ᾽ ἀγχοῦ τῆς πρὸς τὸν βασιλέα
bedchamber he-pitched but near the to the emperor
εἰσαγούσης ἀνόδου. Μανουὴλ δὲ ὁ Φιλοκάλης τοῦτο
leading ascent Manuel and — Philokales this
θεασάμενος καὶ ὡς ὑπὸ κεραυνοῦ βληθείς, ἐπεὶ οὐδὲ
having-beheld and as by thunderbolt struck since not-even
τὰ παρ᾽ αὐτοῦ μελετώμενα τοῦτον διελάνθανεν, αὖος
the(-things) by him planned him escaped dried-up
παραχρῆμα εἱστήκει. μόλις δὲ συναγαγὼν τὸ φρονοῦν τῆς
immediately he-stood hardly and having-collected the thinking-part of-the
ψυχῆς πρόσεισιν εὐθὺς τῷ βασιλεῖ καί φησιν "οὐχ ἁπλοῦν
soul he-goes at-once to-the emperor and says not simple
τὸ γινόμενόν μοι δοκεῖ, ἀλλὰ δέος μοι ἔπεισι, μή
the(-thing) happening to-me seems but fear me comes-upon lest
τι νυκτὸς κατὰ τῆς σῆς νεωτερισθῇ βασιλείας. ῥήμασι
something at-night against the your be-attempted majesty with-words

γοῦν τισι πρὸς αὐτὸν χρησάμενος ἐκεῖθεν μεταβῆναι
at-any-rate some to him having-used from-there to-move
τοῦτον παρασκευάσω.” ὁ δέ, ὁποῖος ἐκεῖνος ἀκατάσειστον
him I-will-arrange he and such that-man unshakable
ὡς ἐπίπαν ἔχων τὸ φρόνημα, οὐδαμοῦ παρεχώρει τοῦ
as on-the-whole having the spirit nowhere yielded the
ἔργου τῷ Φιλοκάλῃ. πολλὰ δὲ τούτου βιαζομένου “ἔα”
deed — to-Philokales much and him pressing let-be
φησίν, “οὐ χρὴ πρόφασιν τοῦτον ἐξ ἡμῶν ἐσχηκέναι.
he-says not it-is-right a-pretext him from us to-have
ἔστω τῆς καθ’ ἡμῶν μελέτης αὐτὸς ὁ αἴτιος πρός τε θεὸν
let-be of-the against us plot he the cause before both God
καὶ ἀνθρώπους.” ἀχθόμενος δὲ ὁ Φιλοκάλης καὶ τύπτων
and men being-vexed and — Philokales and striking
τὰς χεῖρας μεματαιωμένον τε τὸν βασιλέα ἀποκαλῶν
the hands deluded and the emperor calling
μεθίστατο. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τοῦ βασιλέως σὺν
withdrew not long the in middle and the emperor with
αὐτῇ τῇ βασιλίδι ἀπεριμερίμνως ὑπνώττοντος περὶ μέσην
the-very the empress carelessly sleeping about middle
φυλακὴν τῆς νυκτὸς ἄνεισιν ὁ Διογένης ξίφος ὑπὸ τὴν
watch of-the night goes-up — Diogenes a-sword under the
μάλην φέρων καὶ ἐπιβεβηκὼς τῶν οὐδῶν ἔστη. κοιμωμένῳ
armpit carrying and having-stepped-on the thresholds stood for-sleeping
γὰρ τούτῳ τῷ βασιλεῖ οὔτε θύραι ἐπεζυγοῦντο οὔτ’ ἐκτὸς
for this the emperor neither doors were-barred nor outside
ἐπηγρύπνει φρουρά. ἀλλὰ ταῦτα μὲν τὰ περὶ τὸν
kept-watch guard but these(-things) indeed the(-affairs) about the
βασιλέα· τὸν δέ γε Νικηφόρον θεία τις τῷ τότε
emperor — and at-least Nikephoros divine some at-the then(-time)
δύναμις ἀπεῖρξε τοῦ ἐγχειρήματος. τὴν παιδίσκην γὰρ
power restrained from-the undertaking the maidservant for

θεασάμενον τὴν τὸν ἀέρα ἀναρριπίζουσαν καὶ πόρρω
having-seen the(-one) the air fanning and far
ποι τοὺς κώνωπας ἀπωθουμένην τοῦ τῶν βασιλέων
somewhere the gnats driving-away from-the of-the sovereigns
χρωτὸς παραχρῆμα ὑπό τε τρόμος ἔλλαβε γυῖα ὠχρός
skin immediately under both trembling seized limbs pallor
τέ μιν εἶλε παρειάς, κατὰ τὸν ποιητὴν φάναι, ἐς νέωτα
and him seized cheeks according-to the poet to-say for tomorrow
τὸν φόνον ἀναρτήσαντα. καὶ οὗτος μὲν τὴν ἀπροφάσιστον
the murder having-deferred and this-man indeed the unprovoked
τοῦ αὐτοκράτορος σφαγὴν ἐμελέτα διὰ παντός, ἐκεῖνον
of-the autocrat slaughter planned through all that-one
δὲ οὐδὲν τῶν μελετηθέντων κατ᾽ αὐτοῦ διελάνθανε.
and nothing of-the(-things) planned against him escaped
ταχὺ γὰρ ἡ παιδίσκη τούτῳ προσελθοῦσα τὸ δρᾶμα
quickly for the maidservant to-him having-come the drama
ἀπήγγειλε. τοιγαροῦν ἐκεῖθεν τῇ μετ᾽ αὐτὴν ἀπάρας τῆς
reported accordingly from-there on-the after it having-set-out the
προκειμένης ὁδοῦ εἶχετο τὸν ἀγνοοῦντα μὲν ὑποκρινόμενος,
proposed road held the not-knowing indeed pretending
οἰκονομῶν δὲ καὶ τὰ κατ᾽ αὐτὸν τοσοῦτον, ὡς
managing and also the(-affairs) concerning him so-much as
ἅμα μὲν καὶ φυλάττεσθαι, ἅμα δὲ καὶ μηδ᾽ ἡντιναοῦν
at-once indeed also to-be-on-guard at-once and also not-even any-whatever
εὔλογον λαβὴν διδόναι τῷ Νικηφόρῳ. ἐν τοῖς μέρεσιν
reasonable handle to-give — to-Nikephoros in the parts
οὖν γενόμενος τῶν Σερρῶν, ἐπεὶ ὁ Πορφυρογέννητος
then having-come — of-Serrai since the Porphyrogennetos
Κωνσταντῖνος ὁ Δούκας συνεπόμενος τῷ αὐτοκράτορι
Constantine the Doukas following the autocrat
ᾐτεῖτο εἰς τὸν ἴδιον ἀγρὸν καταλῦσαι ἐπιτερπῆ ὄντα
asked to the own estate to-lodge delightful being

καὶ ὕδασι ψυχροῖς καὶ ποτίμοις κατάρρυτον καὶ
and with-waters cold and drinkable well-watered and
ἀποχρῶντα οἰκήματα ἔχοντα πρὸς τὴν βασιλέως ὑποδοχήν
sufficient dwellings having for the of-emperor reception
(Πεντήγοστις τούτῳ τὸ ὄνομα), ὁ βασιλεὺς ὑπείξας
Pentegostis to-it the name the emperor having-yielded
τῷ τούτου θελήματι αὐτοῦ που κατέλυσεν. ἀλλ' οὐδὲ
to-the his will there somewhere lodged but not-even
τῇ μετ' αὐτὴν βουλομένῳ ἐξελθεῖν ὁ Πορφυρογέννητος
on-the after it him-wishing to-go-out the Porphyrogennetos
συνεχώρει· ἠξίου δὲ μᾶλλον ἐγκαρτερῆσαι καὶ ἔτι ἐφ'
allowed asked but rather to-stay also still for
ᾧ ἀνακτήσασθαί τε ἑαυτὸν τῆς ὁδοιπορίας καὶ τὸ
which to-recover both himself from-the journey and the
σῶμα τοῦ κονιορτοῦ καθᾶραι λουσάμενον. εὐτρέπιστο
body from-the dust to-clean having-bathed had-been-made-ready
γὰρ αὐτῷ ἤδη καὶ τὰ πρὸς εὐωχίαν δαψιλῆ. ὁ δὲ
for for-him already also the(-things) for feasting abundant he and
καὶ αὖθις τῷ τοῦ Πορφυρογεννήτου ὑπεῖξε θελήματι. ὡς
also again to-the of-the Porphyrogennetos yielded will as
δὲ λουσάμενον καὶ τοῦ βαλανείου ἐξελήλυθότα τοῦτον
and having-bathed and from-the bath having-come-out him
μεμαθήκοι Νικηφόρος ὁ Διογένης πάλαι τυραννιῶν,
had-learned Nikephoros the Diogenes long-ago aiming-at-tyranny
ἐπιτηρῶν δὲ εἴ που καὶ αὐτόχειρ δυνηθῇ
watching and whether somehow also murderer-by-his-own-hand he-might-be-able
τούτου γενέσθαι, περιζωσάμενος τὸν ἀκινάκην εἰσῄει ὡς
of-him to-become having-girded-on the scimitar went-in as
δῆθεν ἐκ θήρας ἐπανιὼν κατὰ τὸ σύνηθες. τοῦτον οὖν
supposedly from hunt returning according-to the custom him then
ὁ Τατίκιος θεασάμενος καὶ πάλαι γινώσκων τὸ παρ' αὐτοῦ
— Tatikios having-beheld and long-ago knowing the by him

μελετώμενον ἀπώσατο ἐπειπὼν “ἵνα τί ἀσυντάκτως οὕτως
planned pushed-away having-said that what disorderedly thus
καὶ ξιφήρης εἰσέρχῃ; καιρὸς βαλανείου καὶ οὐχὶ ὁδοιπορίας
and sword-bearing do-you-enter time of-bath and not of-journey
οὐδὲ θήρας ἢ μάχης ἐστίν”. ὁ δὲ τοῦ σκοποῦ διημαρτηκὼς
nor of-hunt or of-battle is he and of-the aim having-failed
ὑπεχώρησεν. ὑπολαβὼν δὲ ὡς ἤδη ἐπέγνωσται (δεινὸς
withdrew having-supposed and that already he-has-been-detected terrible
γὰρ ἔλεγχος ἡ συνείδησις) δρασμῷ τὴν ἑαυτοῦ σωτηρίαν
for refutation the conscience by-flight the own safety
πραγματεύσασθαι ἐβουλεύετο καὶ εἰς τοὺς ἐν Χριστουπόλει
to-achieve planned and to the in Christoupolis
ἀγροὺς τῆς βασιλίδος Μαρίας ἢ εἰς τὸν Πέρνικον ἢ τὸν
estates of-the empress Maria or to — Pernikos or —
Πετριτζὸν προσχωρῆσαι κἀκεῖθεν αὖθις πρὸς τὰ
Petritzos to-go-over and-from-there again with-regard-to the(-things)
συμπίπτοντα τὰ κατ᾽ αὐτὸν εὖ διαθέσθαι. προεφθάκει
befalling the concerning him well to-arrange had-been-first
γὰρ ἡ βασιλὶς Μαρία τοῦτον προσλαβέσθαι ἀδελφὸν
for the empress Maria him to-take-up brother
ὄντα μητρόθεν τοῦ προβεβασιλευκότος ἀνδρὸς αὐτῆς
being on-the-mother's-side of-the predecessor-on-the-throne husband her
Μιχαὴλ τοῦ Δούκα, κἂν τὰ ἐς πατέρας διήλλαττον.
Michael the Doukas even-if the(-things) in fathers differed
καὶ ὁ μὲν βασιλεὺς τριταῖος ἐκεῖθεν ἔξεισι· τὸν
and the indeed emperor on-the-third-day from-there goes-out —
δὲ Κωνσταντῖνον αὐτοῦ που καταλελοίπει ῥᾳστώνης
and Constantine there somewhere had-left of-rest
χάριν δεδιὼς τὸ ἁπαλὸν καὶ ἀσύνηθες τοῦ νεανίου τότε
for-the-sake fearing the tenderness and unaccustomedness of-the youth then
πρώτως τῆς ἐνεγκαμένης πρὸς ἐκστρατείαν ἐξεληλυθότος.
first from-the land-that-bore-him on campaign having-gone-out

ἦν γὰρ μονογενὴς τῇ μητρί. καὶ ὁ αὐτοκράτωρ
he-was for only-begotten to-the mother and the autocrat
σφόδρα τοῦ νεανίσκου κηδόμενος πάσης ἀνέσεως συνεχώρει
very the youth caring-for of-every relaxation allowed
ἐπαπολαύειν αὐτὸν σὺν τῇ βασιλίδι μητρί, ἅμα δὲ καὶ
to-enjoy him with the empress mother at-once and also
ὡς ἴδιον ἀπαρτὶ τέκνον ἐξόχως φιλῶν τοῦτον.
as own exactly child exceedingly loving him

XLIX · NIKEPHOROS DIOGENES

Anna goes back to the beginning. Romanos Diogenes left two sons, Leo and Nikephoros, whom their brother Michael stripped of their red shoes and exiled with their mother Eudokia. Alexios took them in, treated them as his own children, and gave Nikephoros Crete. Leo was content, but Nikephoros plotted, and Alexios, learning of it, only grew kinder. Nikephoros courted the magnates. Sharp, sweet-spoken, unswerving only in his aim at the throne, and a fine horseman and archer, he won even the panhypersebastos Michael Taronites.

Ἀλλ' ἵνα μὴ συγκεχυμένος ὁ λόγος προΐῃ, τὰ κατὰ
but that not confused the account may-proceed the(-affairs) concerning
τὸν Διογένην Νικηφόρον ἐξ ἀρχῆς αὐτῆς ἱστορείτω.
— Diogenes Nikephoros from beginning itself let-it-recount
ὅπως μὲν οὖν ὁ τούτου πατὴρ Ῥωμανὸς εἰς τὴν
how indeed then the his father Romanos to the
βασίλειον ἀνήχθη περιωπὴν καὶ ὁποῖον τέλος ἔσχε τὰ
imperial was-raised eminence and what-sort end had the(-affairs)
κατ' αὐτόν, διαφόροις τῶν ἱστοριογράφων ἐμέλησε,
concerning him to-various of-the historians was-a-care
κἀκεῖθεν ἐξέσται τὰ περὶ τούτου ἀναλέγεσθαι
and-from-there it-will-be-possible the(-things) about this to-read

τοῖς βουλομένοις. ἐπὶ παισὶ δὲ ὅμως τετελευτήκει τῷ
for-those wishing on sons and nevertheless he-had-died —
τε Λέοντι καὶ τῷ Νικηφόρῳ. ὁ δὲ αὐτοκράτωρ Ἀλέξιος
both to-Leo and — to-Nikephoros the and autocrat Alexios
ἐκ προοιμίων τῆς αὐτοῦ ἀναρρήσεως παραλαβὼν τούτους
from the-outset of-the his proclamation having-taken-over them
ἰδιώτας ἐκ βασιλέων (καὶ γὰρ ἅμα τῷ τῆς βασιλείας
private-men from emperors and for as-soon-as the of-the empire
ἐπιβῆναι ὁ Μιχαὴλ καὶ αὐτάδελφος αὐτῶν αὐτοὺς μὲν
to-mount — Michael even own-brother their them indeed
τῶν ἐρυθρῶν ἀπογυμνοῖ πεδίλων καὶ τὰ στέφη τούτων
of-the red strips shoes and the crowns their
ἀφαιρεῖται καὶ ὑπερορίαν ξὺν τῇ μητρὶ αὐτῶν τῇ βασιλίσσῃ
takes-away and to-exile with the mother their the empress
Εὐδοκίᾳ εἰς τὴν μονὴν τοῦ Κυπερούδη καταψηφίζεται)
Eudokia to the monastery — of-Kyperoudes condemns
παντοίας θεραπείας ἠξίου τὸ μέν τι δι'
of-every-kind care he-deemed-them-worthy partly indeed somewhat for
ὧ πεπόνθασιν οἰκτείρων αὐτούς, τὸ δέ τι καὶ
what they-had-suffered pitying them partly and somewhat also
τοὺς νέους ὁρῶν κατά τε σώματος ὥραν καὶ ῥώμην
the young seeing in both of-body bloom and strength
διαφέροντας τῶν πολλῶν, χνοάζοντας μὲν καὶ ἀρτιφυεῖς
surpassing the many with-down indeed and newly-grown
τὸ γένειον, ὑψηλοὺς καὶ ἰσομέτρους ὥσπερ ὑπὸ κανόνα
in-the beard tall and equal-sized as-if by rule
τὸ μέγεθος καὶ αὐτὸ τὸ νεοτήσιον ἤδη ἐκφύοντας ἄνθος
in-the size and itself the youthful already putting-forth bloom
ἐξ αὐτῆς τε ὄψεως τὸ θυμοειδὲς αὐτῶν καὶ γενναῖον τοῖς
from itself both look the high-spirited their and noble to-those
μὴ διὰ πάθος τυφλώττουσιν ἀριδήλως ἐμφαίνοντας καὶ
not because-of passion blinded clearly showing and

σκύμνους οἷον λέοντος· καὶ ἄλλως δέ, ὁποῖος ἐκεῖνος μὴ
cubs as-it-were of-a-lion and otherwise too such that-man not
ἐπιπολαίως ὁρῶν μήτε πρὸς τὴν ἀλήθειαν μύων μηδὲ
superficially seeing nor to the truth shutting-his-eyes nor
πάθεσιν ἁλισκόμενος ἐπιψόγοις, ἀλλὰ ταλαντεύων τὸ ὂν ἐν
by-passions being-caught blameworthy but weighing the being in
ἰσορρόπῳ στάθμῃ τῆς συνειδήσεως καὶ τὸ ὕψος ἐξ οὗπερ
equal balance of-the conscience and the height from which
ἐκπεπτώκεσαν λογιζόμενος ἐνηγκαλίζετο ἴσα καὶ τέκνοις
they-had-fallen reckoning embraced equally also to-children
ἰδίοις, τί μὲν οὐ λέγων, τί δὲ οὐ πράττων ἀγαθὸν
own what indeed not saying what and not doing good
ἐς αὐτούς, τί δὲ οὐ προμηθευόμενος; κἂν ὁ φθόνος
toward them what and not providing even-if the envy
βάλλων αὐτοὺς τοῖς τοξεύμασιν οὐκ ἀνίει. ἐκ πολλῶν
striking them with-the arrows not ceased from many
γὰρ κατ᾽ αὐτῶν ἐρεθιζόμενος ὁ αὐτοκράτωρ αὐτὸς μᾶλλον
for against them being-provoked the autocrat he rather
πάσης αὐτοὺς ἐπικουρίας ἠξίου ἱλαρὸν ἐνατενίζων ἀεὶ
of-all them assistance deemed-worthy cheerfully gazing always
καὶ ἐνωραϊζόμενος οἷον ἐπ᾽ αὐτοῖς ξυμβουλεύων τε διὰ
and taking-delight as-it-were in them advising and through
παντὸς τὰ συνοίσοντα. ἄλλος μὲν γὰρ ἴσως καὶ
all the(-things) going-to-help other indeed for perhaps also
ὑπόπτους ἂν ἐλογίσατο τούτους καὶ ἐκποδὼν διὰ
suspect — would-have-reckoned them and out-of-the-way through
παντοίας μεθόδου ἐξ αὐτῆς ἀρχῆς ποιῆσαι ἐσπούδασεν
every-kind method from itself beginning to-make would-have-hastened
ἄν· οὗτος δὲ ὁ αὐτοκράτωρ τὰς τῶν πολλῶν κατὰ
— this but the autocrat the of-the many against
τῶν νέων εἰσηγήσεις παρ᾽ οὐδὲν ἐτίθετο ἐξόχως τούτους
the young suggestions at nothing set exceedingly them

φιλῶν, τὴν μέντοι μητέρα τούτων Εὐδοκίαν καὶ δωρεῶν
loving the however mother their Eudokia both of-gifts
ἀξιῶν καὶ τιμῆς τῆς προσηκούσης βασιλίσσαις μὴ
deeming-worthy and of-honor the befitting to-empresses not
ἀποστερῶν. καὶ αὐτῷ δὴ τῷ Νικηφόρῳ τὴν τῆς νήσου
depriving and very indeed — to-Nikephoros the of-the island
Κρήτης ἀρχὴν ἀνέθετο εἰς ἐνδιαίτημα ἴδιον. ἀλλὰ ταῦτα
Crete rule he-entrusted for residence own but these(-things)
μὲν ὁ βασιλεύς· τούτων δὲ ὁ μὲν Λέων φρονήματος
indeed the emperor of-these and — indeed Leo of-mind
ὢν ἀγαθοῦ καὶ γνώμης ἐλευθέρας, ὁρῶν δὲ καὶ τὴν
being good and of-judgment free seeing and also the
βασιλέως εἰς αὐτοὺς εὐμένειαν ἔστεργε τὴν λαχοῦσαν
of-emperor toward them goodwill was-content-with the allotted
ἐπαναπαυόμενος οἷον ἐπὶ τοῖς παροῦσι κατὰ τὸν
resting as-it-were on the present-things according-to the(-one)
εἰπόντα "Σπάρταν ἔλαχες, ταύταν κόσμει". ὁ δέ γε
having-said Sparta you-got this adorn — and at-least
Νικηφόρος δύσοργος καὶ βαρύμηνις ὢν βυσσοδομεύων κατὰ
Nikephoros ill-tempered and wrathful being plotting-deeply against
τοῦ αὐτοκράτορος καὶ τυραννήσειν μελετῶν οὐκ ἐπαύετο·
the autocrat and to-be-tyrant planning not ceased
ὑποβρύχιον δὲ ὅμως εἶχε τὴν βουλήν. ἤδη δὲ καὶ τοῦ
under-water and nevertheless he-had the plan already and also the
ἔργου ἀπαρξάμενος γνησιώτερόν τισι προσωμίλει. οὐκ
deed having-begun more-sincerely with-some conversed not
ἐλάνθανε τοῦτο τοὺς πλείστους· δι' ὧν καὶ εἰς τὰς
escaped this the most through whom also into the
ἀκοὰς ἔφθανε τοῦ βασιλέως. ὁ δὲ βασιλεὺς καινόν τι
ears it-reached of-the emperor the and emperor new something
ποιῶν μεταπεμπόμενος τούτους ἐν καιροῖς ἁρμοδίοις οὐκ
doing summoning them at times suitable not

ἐνέφαινε μὲν τὸ ἀκουσθέν, εὐφυῶς δὲ παρῄνει καὶ τὰ
showed indeed the(-thing) heard cleverly but exhorted and the
εἰκότα συνεβούλευε. καὶ ὅσῳ μᾶλλον τῆς ἐπιβουλῆς
fitting-things advised and by-as-much-as more of-the plot
ἐν γνώσει ἐγίνετο, τοσούτῳ μᾶλλον ἐλευθεριώτερον πρὸς
in knowledge he-came by-so-much more more-liberally toward
αὐτοὺς διετίθετο οὕτω βουλόμενος τούτους κερδανεῖν. ἀλλ᾽
them was-disposed thus wishing them to-gain but
ὁ Αἰθίοψ οὐκ ἐλευκαίνετο. ἔμενε γὰρ ὁ αὐτὸς καὶ
the Ethiopian not was-whitened remained for the same and
μετεδίδου τῆς λύμης, ὁπόσοις ἂν προσεπέλασε, τοὺς μὲν
imparted of-the defilement to-as-many-as — he-approached some indeed
δι᾽ ὅρκων, τοὺς δὲ δι᾽ ὑποσχέσεων σφετεριζόμενος.
through oaths others and through promises appropriating
τοῦ μὲν οὖν κοινοῦ τοῦ στρατοῦ οὐ τοσοῦτον ἔμελε τῷ
of-the indeed then common of-the army not so-much was-a-care —
Νικηφόρῳ· ἤδη γὰρ ἅπαντες πρὸς αὐτὸν ἀπονενεύκασιν·
to-Nikephoros already for all to him had-turned
ἀλλ᾽ ὅλος πρὸς τοὺς μεγιστᾶνας ἀπονενευκὼς τῶν
but wholly to the magnates having-turned of-the
τε ἡγεμόνων καὶ τῶν τῇ συγκλήτῳ κατειλεγμένων
both leaders and of-the in-the senate enrolled
προκρίτων ἀνδρῶν πολλὴν φροντίδα ποιούμενος ὑπεποιεῖτο
eminent men much care making won-over
αὐτούς. ἦν γὰρ τὴν φρένα μὲν ὀξύτερος ἀμφιστόμου
them he-was for in-the mind indeed sharper than-a-two-edged
ξίφους, στάσιμος δὲ οὐδαμῶς, εἰ μὴ ὅσον πρὸς τὸ
sword steadfast and in-no-way if not as-far-as for the
τυραννήσειν τὸ ἀμετάθετον ἐνεδείκνυτο· μελιχρὸς ἐν
to-be-tyrant the unchangeable he-showed honey-sweet in
λόγοις, ἐν συναναστροφαῖς ἡδύς, ταπεινοφροσύνην μὲν
words in companionship pleasant humility indeed

ὡς ἀλωπεκῆν ποτε περιβαλλόμενος, ἔστιν οὗ καὶ τὸ
as a-fox's-skin sometimes putting-on there-is where also the
θυμοειδὲς καθάπερ λέων ἐμφαίνων ποτέ, ῥωμαλέος καὶ
high-spirited like a-lion showing sometimes strong and
πρὸς Γίγαντας ἐγκαυχώμενος ἁμιλλᾶσθαι, σιτόχρους τὴν
against Giants boasting to-contend wheat-colored in-the
ὄψιν, εὐρὺς τὰ στέρνα, ὑπερωμίας τῶν τότε καιροῦ
face broad in-the chest by-a-head-taller-than the then of-time
ὄντων ἀνδρῶν. εἰ δὲ σφαιρίζοντα τοῦτον εἶδέ τις, εἰ δὲ
being men if and playing-ball him saw someone if and
ἱππαζόμενον, εἰ δὲ ὀϊστὸν πέμποντα ἢ δόρυ κραδαίνοντα
riding if and an-arrow sending or a-spear brandishing
καὶ ἱππασίας ποιούμενον, θαῦμα ἐδόκει καινὸν θεᾶσθαι
and charges making a-wonder be-seemed new to-see
ἐκεχήνει τε καὶ μόνον οὐ πεπηγὼς ἦν. διὰ τοῦτο καὶ
he-gaped both and only not rooted was because-of this also
μᾶλλον τὴν τῶν πολλῶν ἐπεσπᾶτο εὔνοιαν. τοσοῦτον δὲ τὸ
more the of-the many he-drew goodwill so-far and the
σπουδαζόμενον αὐτῷ προῄει, ὡς καὶ αὐτὸν τὸν ἐπ᾽ ἀδελφῇ
being-pursued by-him advanced that even himself the on sister
τοῦ αὐτοκράτορος γαμβρὸν Μιχαὴλ τὸν Ταρωνίτην τῷ
of-the autocrat brother-in-law Michael the Taronites with-the
τοῦ πανυπερσεβάστου τιμώμενον ἀξιώματι ὑποποιήσασθαι.
of-the panhypersebastos honored rank to-win-over

L · THE PLOT UNCOVERED

Alexios weighs Diogenes' plotting against his love for him, and fears for his own life. Diogenes, failing to get a swift horse from the Porphyrogennetos, puts off his flight. On the feast of Saint Theodore, Alexios has his brother Adrian, Diogenes' brother-in-law, urge him to confess, but he denies everything. Adrian reminds him of the half-Armenian, half-Turkish assassin who once could not draw his sword at the polo ground and whom Alexios freed and rewarded, refusing to banish him, since if the Lord does not guard the city, the guards watch in vain.

Ἀλλ᾽ ἐπανακτέον τὸν λόγον αὖθις ὅθεν ἀπερρύη καὶ
but one-must-bring-back the account again whence it-flowed-away and
καθ᾽ εἱρμὸν ἑκτέον τῆς διηγήσεως. ὁ μὲν οὖν
in sequence one-must-hold-to the narration the indeed then
αὐτοκράτωρ τοῖς λογισμοῖς ἀνατρέχων, ἐξ οὗπερ τὴν
autocrat in-the reasonings running-back from when the
καθ᾽ ἑαυτοῦ τοῦ Διογένους μελέτην ἐπέγνωκεν, καὶ
against himself — of-Diogenes plan he-had-recognized and
ὅπως ἐξ αὐτῆς ἀρχῆς τῆς αὐτοῦ ἀναρρήσεως ἀμφοῖν
how from itself beginning of-the his proclamation both
ἐχρήσατο τοῖν ἀδελφοῖν ὁπόσης τε φιλοφροσύνης καὶ
he-had-treated the brothers of-how-much both kindness and
κηδεμονίας ἐπὶ τοσούτοις ἔτεσιν αὐτοὺς ἠξίου, κἂν
care for so-many years them he-deemed-worthy even-if
οὐδὲν τούτων τὴν τοῦ Νικηφόρου γνώμην ἐπὶ τὸ βέλτιον
nothing of-these the — of-Nikephoros mind to the better
μετηλλοίωσεν, εἰς ἀμηχανίαν ἐνέπιπτε. ταῦτ᾽ οὖν
changed into helplessness fell these(-things) then
ὁ βασιλεὺς ἀναλογιζόμενος πάντα καὶ ὅπως μετὰ τὸ
the emperor reckoning-up all and how after the
σφαλῆναι αὖθις εἰσήει, ὅπως ἀπώσθη παρὰ τοῦ
to-have-failed again he-entered how he-was-pushed-away by —

Τατικίου, καὶ γνοὺς ὡς τὸ φονουργὸν σιδήριον θήγων
Tatikios and having-known that the murderous iron whetting
κατ᾽ αὐτοῦ αἵμασιν ἀναιτίοις σπεύδει χρᾶναι τὰς χεῖρας
against him with-blood innocent he-hastens to-stain the hands
καὶ ὁ τέως ἐφεδρεύων καὶ νυκτὸς ἐπιτηρῶν τὸν
and the(-one) for-the-time lying-in-wait and at-night watching the
φόνον τελέσαι ἀπαρακαλύπτως τοῦτον ἤδη ἐπισπεύδει,
murder to-accomplish openly this already hastens
πολλοῖς ἐκυμαίνετο λογισμοῖς. ἤθελε μὲν οὖν οὐδαμῶς τὸν
with-many surged reasonings he-wished indeed then in-no-way —
Διογένην μετελεύσεσθαι δι᾽ ὃν πρὸς αὐτὸν ἐγκάρδιον
Diogenes to-prosecute because-of which toward him heartfelt
ἐκέκτητο πόθον ἐξόχως τὸν ἄνδρα φιλῶν· ἁπαξαπλῶς δὲ
he-had-acquired longing exceedingly the man loving in-a-word and
ἅπαντα συνελὼν ὅπη τε προβήσεται τὸ δεινὸν ἐννοῶν,
all having-summed-up where and will-go-on the terror considering
ἐπεὶ τὸν περὶ ψυχῆς κίνδυνον αὐτῷ ἐφιστάμενον ἔγνω,
since the about life danger for-him impending he-knew
πλήττεται τὴν καρδίαν. καὶ εἰς ἓν τὸ πᾶν συναγαγὼν
is-struck in-the heart and into one the whole having-collected
δεῖν ἔκρινεν κατασχεῖν τὸν Νικηφόρον. ἐκεῖνος δὲ
to-be-needful judged to-seize — Nikephoros that-one and
τὸν μελετώμενον ἐπισπεύδων δρασμὸν καὶ βουλόμενος
the planned hastening flight and wishing
νυκτὸς τῆς πρὸς Χριστούπολιν φερούσης ἅψασθαι ἑσπέρας
at-night the to Christoupolis leading(-road) to-take in-the-evening
ἀποστείλας εἰς τὸν Πορφυρογέννητον Κωνσταντῖνον τὸν
having-sent to the Porphyrogennetos Constantine the
δοθέντα αὐτῷ παρὰ τοῦ βασιλέως ταχυδρόμον ἵππον ᾐτεῖτο
given to-him by the emperor swift horse asked
ἀποχαρίσασθαί οἱ. ὁ δὲ ἀνένευε λέγων μὴ δύνασθαι
to-make-a-gift-of to-him he and refused saying not to-be-able

δῶρον τοιοῦτον αὐθήμερον τοῦ βασιλέως ἀποποιήσασθαι.
gift such on-the-same-day of-the emperor to-renounce
ἐπεὶ δὲ πρωΐας ὁ βασιλεὺς τῆς προκειμένης ὁδοῦ ἥψατο,
since and in-the-morning the emperor the proposed road took
συνείπετο τούτῳ καὶ ὁ Διογένης τοῦ διασκεδάζοντος βουλὰς
followed him also — Diogenes the scattering plans
καὶ λογισμοὺς ἀθετοῦντος λαῶν θεοῦ τοῦτον σφήλαντος
and reasonings setting-aside of-peoples God him having-tripped-up
γνωσιμαχοῦντα μὲν τὸν δρασμόν, ὑπερτιθέμενον δὲ ὥραν
changing-his-mind indeed the flight putting-off and hour
ἐξ ὥρας, ὁποῖα τὰ τοῦ θεοῦ κρίματα. κατασκηνώσας
from hour such-as the — of-God judgments having-encamped
οὖν ἀγχοῦ τῶν Σερρῶν, ὅπου καὶ ὁ βασιλεύς, αὐτὸς μὲν
then near — Serrai where also the emperor he indeed
τῶν συνήθων εἴχετο λογισμῶν ὡς πεφωραμένος ἤδη καὶ
to-the customary held reasonings as detected already and
δεδιὼς τὸ μέλλον. ὁ δὲ βασιλεὺς μετακαλεῖται τηνικαῦτα
fearing the future the and emperor summons then
τὸν ἴδιον ἀδελφὸν Ἀδριανὸν καὶ μέγαν δομέστικον κατ'
the own brother Adrian and grand domestic on
αὐτὴν τὴν ἑσπέραν, ἐν ᾗ καὶ ἡ τοῦ μεγαλομάρτυρος
itself the evening on which also the of-the great-martyr
Θεοδώρου ἐτελεῖτο μνήμη. καὶ κοινοῦται αὖθις τούτῳ
Theodore was-celebrated memorial and communicates again to-him
τὰ τοῦ Διογένους μηδὲ πρότερον ἀγνοοῦντι, ὡς
the(-affairs) — of-Diogenes not-even before not-knowing how
ξιφήρης εἰσῄει, ὡς ἀπώσθη τῆς θύρας, ὡς τὸ
sword-bearing he-entered how he-was-pushed-away from-the door how the
πάλαι βεβουλευμένον εἰ δυνατὸν ἵσταται σπεύδων τελέσαι.
long-ago planned if possible he-stands hastening to-accomplish
τηνικαῦτα οὖν ἐπισκήπτει τῷ δομεστίκῳ ὁ βασιλεὺς
at-that-time then enjoins on-the domestic the emperor

τὸν Διογένην εἰς τὴν ἰδίαν μετακαλέσασθαι σκηνὴν καὶ
— *Diogenes to the own to-summon tent and*
διὰ μειλιχίων λόγων καὶ παντοίων ὑποσχέσεων πεῖσαι
through soothing words and all-kinds promises to-persuade
ἀνακαλύψαι ἅπαντα τὰ βεβουλευμένα ἀπάθειαν αὐτῷ
to-uncover all the(-things) planned immunity to-him
ὑπισχνουμένῳ καὶ ἀμνηστίαν τοῦ λοιποῦ τῶν κακῶν,
promising and amnesty for-the rest of-the evils
εἰ μηδ᾽ ὁτιοῦν ἀποκρύψειεν, ἀλλὰ καὶ τοὺς συνίστορας
if not-even anything he-should-hide but also the accomplices
ἐξείποι ἅπαντας. ὁ δὲ ἀθυμίας πλήρης γενόμενος ὅμως
should-tell all he and of-despondency full having-become nevertheless
ἐπλήρου τὸ κελευσθέν. ποτὲ μὲν οὖν ἀπειλῶν, ὁτὲ
fulfilled the(-thing) ordered at-times indeed then threatening at-times
δὲ ὑπισχνούμενος, ὁτὲ δὲ καὶ συμβουλεύων οὐκ ἔπειθε
and promising at-times and also advising not he-persuaded
τὸν Διογένην ὅλως οὐδ᾽ ὁτιοῦν τῶν βεβουλευμένων
— *Diogenes at-all not-even anything of-the(-things) planned*
ἀνακαλύψαι. τί τὸ ἐπὶ τούτοις; ἤχθετο μὲν ὁ μέγας
to-uncover what the(-thing) at these-things was-vexed indeed the grand
δομέστικος καὶ ἠνιᾶτο, οὗ κακῶν φέρεται ὁ Διογένης,
domestic and was-grieved to-what of-evils is-borne — Diogenes
στοχαζόμενος. ἔσχε γὰρ τοῦτον προφθάσας ὁ Διογένης
guessing had for him having-been-first — Diogenes
γαμβρὸν ἐπὶ τῇ ὑστάτῃ τῶν ἑτεροθαλῶν αὐτοῦ ἀδελφῶν.
as-brother-in-law on the youngest of-the half-blood his sisters
ἔνθεν τοι καὶ μετὰ δακρύων ἐκλιπαρῶν αὐτὸν οὐκ ἀνίει·
whence surely also with tears entreating him not ceased
ἔπειθε δὲ οὐδαμῶς, κἂν αὐτὸς ἐνέκειτο ἀναμιμνήσκων
persuaded but in-no-way even-if he pressed reminding
ἅμα καὶ τῶν ὄπισθεν. σφαιρίζοντι γάρ ποτε
at-the-same-time also of-the(-things) behind playing-ball for once

τῷ αὐτοκράτορι κατὰ τὸ ἐν τῷ μεγάλῳ παλατίῳ
the autocrat at the in the great palace
ἱππηλάσιον ἀνήρ τις βάρβαρος ἐξ Ἀρμενίων καὶ
riding-ground man a-certain barbarian from Armenians and
Τούρκων φὺς ξίφος ἔσωθεν τῶν ἀμφίων φέρων, ἐπὰν
Turks sprung a-sword inside the garments carrying when
τὸν αὐτοκράτορα τῶν συσφαιριζόντων ἀνασειράσαντα
the autocrat from-the fellow-players having-reined-in
τὸν χαλινὸν ἀπολειφθέντα ἐθεάσατο ἐφ' ᾧ πνευστιῶντα
the bridle left-behind he-saw for which panting
τὸν ἵππον ἀναψῦξαι, πρόσεισι μὲν τῷ αὐτοκράτορι
the horse to-refresh goes indeed to-the autocrat
γονυπετῶν ἅμα καὶ αἰτεῖσθαι ὑποκρινόμενος. ὁ δὲ
kneeling at-the-same-time and to-ask pretending he and
ἀνασειράζει τὸν ἵππον εὐθὺς καὶ ἐπιστραφεὶς ἐπυνθάνετο,
reins-in the horse at-once and having-turned asked
τί ἂν τὸ αἰτούμενον εἴη. ὁ δὲ φονεὺς μᾶλλον ἢ
what — the request might-be he and murderer rather than
προσαίτης ὢν τὴν χεῖρα ὑποβαλὼν καὶ τοῦ ξίφους
beggar being the hand having-put-under and the sword
ἁψάμενος εἵλκε τοῦ κουλεοῦ. τὸ δ' οὐ συνείπετο τῇ
having-grasped drew from-the scabbard it but not followed the
χειρί. ἅπαξ οὖν καὶ δὶς τοῦ μὲν ξίφους ἀποπειρώμενος,
hand once then and twice the indeed sword trying
τοῖς δὲ χείλεσι ψευδεῖς αἰτήσεις συνείρων ἀπογνοὺς
with-the and lips false requests stringing having-despaired
καὶ προσουδίσας ἑαυτὸν τῇ γῇ ἔκειτο συγγνώμην
and having-thrown himself on-the ground lay pardon
ἐξαιτούμενος. ὁ δὲ πρὸς αὐτὸν στρέψας τὸν χαλινὸν
asking he and toward him having-turned the bridle
ἠρώτα ὅτου χάριν συγγνώμην αἰτεῖ. καὶ ὃς τὸ ξίφος

σὺν αὐτῷ κουλεῷ ἐδείκνυ· στερνοτυπῶν δ᾽ ἅμα καὶ
with the-very scabbard showed beating-his-breast and at-the-same-time also
ἐκθαμβούμενος καὶ βοῶν ἔλεγε "νῦν σε δοῦλον τοῦ θεοῦ
astounded and shouting said now you servant — of-God
γνήσιον ἔγνωκα, νῦν τὸν μέγαν θεὸν σκέποντά σε ἐν
genuine I-know now the great God sheltering you with
ὀφθαλμοῖς τεθέαμαι. ἐπὶ τῇ σφαγῇ γὰρ τῇ σῇ τουτὶ τὸ
eyes I-have-seen for the slaughter for the your this-here the
ξίφος κατασκευάσας καὶ λαβὼν οἴκοθεν ἐνταῦθα πάρειμι
sword having-prepared and having-taken from-home here I-am-present
ἐφ᾽ ᾧ κατὰ τῶν σῶν ὠθῆσαι σπλάγχνων. ἅπαξ δὲ καὶ
for which into the your to-thrust bowels once and also
δὶς καὶ τρὶς τοῦτο σπασάμενος οὐδαμῶς ὑπεῖκον ἔσχον
twice and thrice this having-drawn in-no-way yielding I-had
τῇ βίᾳ τῆς ἐμῆς χειρός." ὁ μὲν οὖν βασιλεὺς καθαπερεὶ
to-the force of-the my hand the indeed then emperor as-if
μηδέν τι τοιοῦτον ἀκηκοὼς ἐπὶ ταὐτοῦ σχήματος
nothing at-all such having-heard on the-same posture
θαρσαλέος εἱστήκει· συνέδραμον δὲ πρὸς αὐτὸν παραχρῆμα
bold stood ran-together and to him immediately
ἅπαντες, οἱ μὲν ἀκροασόμενοι τῶν λεγομένων, οἱ
all some indeed going-to-hear the(-things) said others
δὲ ἐκθαμβούμενοι ἐπὶ τούτοις. οἱ δὲ εὐνούστερον πρὸς
and astounded at these-things others and more-loyally toward
τὸν αὐτοκράτορα διακείμενοι καὶ διασπαράττειν αὐτὸν
the autocrat disposed also to-tear-apart him
ἐπεχείρουν, κἂν αὐτὸς νεύματί τε καὶ χειρὶ καὶ συχνοῖς
attempted even-if he by-nod both and hand and frequent
ἐμβριμήμασιν ἀπεῖργε τῆς ἐγχειρήσεως. τί τὸ ἐπὶ
rebukes restrained from-the attempt what the(-thing) at
τούτοις; παντελοῦς ἀφέσεως ὁ φονεὺς ἐκεῖνος παραχρῆμα
these-things of-complete release the murderer that immediately

τυγχάνει στρατιώτης, οὐκ ἀφέσεως δὲ μόνον, ἀλλὰ καὶ
obtains a-soldier not of-release and only but also
μεγίστων δωρεῶν· ἐπὶ τούτοις καὶ ἐλευθερίας παραπολαύει.
of-greatest gifts on these and of-freedom enjoys
πολλοὶ μὲν οὖν τούτων καὶ ὀχλοῦντες ἐνέκειντο τῆς
many indeed then of-them even pestering pressed from-the
βασιλευούσης ἀπελαθῆναι τὸν φονέα ἐκεῖνον· ὁ δ' οὐκ
reigning(-city) to-be-driven-out the murderer that he and not
ἐπείθετο λέγων "ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην
was-persuaded saying if not (the)-Lord should-guard a-city in vain
ἠγρύπνησαν οἱ φυλάσσοντες. λοιπὸν θεῷ ἐπεύχεσθαι
kept-awake those guarding for-the-rest to-God to-pray
δεῖ τὴν ἡμετέραν ἐκεῖθεν ἐξαιτουμένους διαμονὴν καὶ
it-is-necessary the our from-there asking continuance and
φρουράν." ὑπεψιθύριζον οὖν τινες μετὰ τῆς τοῦ Διογένους
guard whispered then some with the — of-Diogenes
γνώμης τῷ τοῦ αὐτοκράτορος φόνῳ ἐπικεχειρηκέναι τὸν
mind the of-the autocrat murder to-have-attempted the
ἄνδρα ἐκεῖνον, κἂν ὁ βασιλεὺς οὐδ' ὅλως ὑπεῖχε τούτοις
man that even-if the emperor not-even at-all lent to-these
τοῖς λόγοις τὰ ὦτα, ἀλλὰ μᾶλλον ἐβαρυμηνία κατ' αὐτῶν
the words the ears but rather was-wrathful against them
τοσοῦτον αὐτοῦ ἀνεχόμενος, ὡς μέχρις αὐτοῦ λαιμοῦ τῆς
so-much him bearing-with that as-far-as itself throat the
ἀκωκῆς τοῦ ξίφους φθανούσης τὸν ἀγνοοῦντα ὑποκρίνεσθαι.
point of-the sword reaching the not-knowing to-pretend
ἀλλὰ ταῦτα μὲν οὕτω. τούτων οὖν ἀναμνήσας αὐτὸν
but these(-things) indeed thus of-these then having-reminded him
ὁ μέγας δομέστικος καὶ μηδαμῶς πείθων προσελθὼν
the grand domestic and in-no-way persuading having-gone
ἀπαγγέλλει τῷ βασιλεῖ τὴν τοῦ Διογένους ἔνστασιν καὶ
reports to-the emperor the — of-Diogenes obstinacy and

ὅτι ἔξαρνος παντάπασιν ὁ Διογένης ἐστί, καίτοι πολλὰ
that denying entirely — Diogenes is although much
παρακληθεὶς παρ᾽ αὐτοῦ, ὡς ἔλεγε.
entreated by him as he-said

LI · DIOGENES CONFESSES

Mouzakes takes Diogenes into custody and, exceeding his orders, examines him himself, and Diogenes confesses everything to the secretary Gregory Kamateros. Letters show that the empress Maria knew of the rebellion but tried to stop the murder. Alexios keeps her name secret. Since the whole civil and military body had been corrupted, he sends only Diogenes and Kekaumenos Katakalon to Kaisaropolis, exiles Michael Taronites with another, and spares the rest.

Μεταπέμπεται τοίνυν τὸν Μουζάκην καὶ ἐπισκήπτει
he-summons therefore — Mouzakes and enjoins
ἔνοπλον μεθ᾽ ἑτέρων παραγενόμενον ἀναλαβέσθαι τοῦτον
armed with others having-come to-take him
τῆς τοῦ μεγάλου δομεστίκου σκηνῆς καὶ εἰς τὴν ἰδίαν
from-the of-the grand domestic tent and to the own
ἀπαγαγεῖν κἀκεῖσε μετὰ ἀσφαλείας τηρεῖν δεσμῶν ἄτερ
to-lead-away and-there with security to-keep bonds without
καὶ ἑτέρας κακώσεως. ὁ δ᾽ εὐθὺς τὸ κελευσθὲν
and other ill-treatment he and at-once the(-thing) ordered
ἐπλήρου. καὶ παραλαβὼν τοῦτον εἰς τὴν ἰδίαν ἀπάγει
fulfilled and having-taken him to the own leads-away
σκηνήν. ἐπεὶ δὲ δι᾽ ὅλης νυκτὸς παρακαλῶν αὐτὸν καὶ
tent since and through whole night entreating him and
ξυμβουλεύων οὐ μόνον οὐκ ἔπειθεν, ἀλλὰ καὶ ἀναισχύντως
advising not only not he-persuaded but also shamelessly
αὐτῷ προσφερόμενον ἑώρα, θυμοῦ πλησθεὶς καὶ ὃ μὴ
toward-him bearing-himself he-saw with-anger filled also what not

προστέτακτο ἐπιχειρεῖν ἠπείγετο. δοκιμάσας οὖν ἐτάσαι
had-been-ordered to-attempt hastened having-tested then to-examine
αὐτόν, ἤδη δὲ καὶ ἐτάζων, ἐπεὶ οὐδὲ πρὸς τὴν πρώτην
him already and also examining since not-even against the first
προσβολὴν ὁ Διογένης ἀντισχὼν ἅπαντα ἀνομολογῆσαι
attack — Diogenes having-held-out all to-confess
διεβεβαιοῦτο, τῶν μὲν δεσμῶν λύει παραχρῆμα,
affirmed from-the indeed bonds he-looses immediately
καὶ γραφεὺς τηνικαῦτα προκαλεῖται γραφίδα κατέχων·
and a-scribe then is-called a-pen holding
Γρηγόριος δὲ ἦν ὁ Καματηρὸς νεωστὶ προσληφθεὶς καὶ
Gregory and was — Kamateros newly taken-on and
ὑπογραμματεύων τῷ αὐτοκράτορι. καὶ ὁ Διογένης ἅπαντα
serving-as-under-secretary to-the autocrat and — Diogenes all
ἀπαγγέλλων οὐδὲ τὸν φόνον παρεσιώπα. ἀναλαβόμενος
reporting not-even the murder passed-over-in-silence having-taken
δὲ πρωΐας ὁ Μουζάκης τάς τε ἐγγράφους αὐτοῦ
and in-the-morning — Mouzakes the both written his
ὁμολογίας καὶ ἃς ἀναζητήσας εὗρε παρά τινων πρὸς
confessions and which having-sought-out he-found by some to
αὐτὸν πεμπομένας γραφάς, δι' ὧν ἐφαίνετο καὶ ἡ
him sent letters through which appeared also the
βασιλὶς Μαρία τὴν μὲν ἀποστασίαν τοῦ Διογένους
empress Maria the indeed rebellion — of-Diogenes
εἰδέναι, τὸν δὲ φόνον μηδαμῶς συγχωρεῖν ἀλλὰ καὶ μετ'
to-know the but murder in-no-way to-allow but also with
ἐπιμελείας ἀπείργειν αὐτὸν οὐκ ἀπὸ τοῦ φόνου μόνον,
care to-restrain him not from the murder only
ἀλλὰ καὶ ἐξ αὐτῆς ψιλῆς ἐννοίας, κομίζει τῷ βασιλεῖ. ὁ
but also from itself bare thought brings to-the emperor he
δὲ ταύτας ὑπαναγνοὺς καὶ πλείονας τῶν ὑποπτευομένων
and them having-read and more of-the suspected

ἐγγεγραμμένους εὑρηκὼς καὶ τούτους ἐκκρίτους ἅπαντας ἐν
written-in having-found and these picked all in
ἀμηχανίᾳ ἦν. οὐδὲ γὰρ ἔμελε τῷ Διογένει τοσοῦτον τῆς
helplessness was not for it-was-a-care — to-Diogenes so-much of-the
κοινότητος· εἶχε γὰρ αὐτοὺς πάλαι ὅλῃ ψυχῇ κεχηνότας
commons he-had for them long-ago with-whole soul gaping
καὶ πρὸς αὐτὸν ἀπονενευκότας· ἀλλὰ πᾶν τὸ τὰ πρῶτα
and to him having-turned but all the(-part) the first-places
φέρον τοῦ στρατιωτικοῦ τε καὶ πολιτικοῦ συντάγματος
holding of-the military both and civil body
ἔσπευδεν ὑποποιήσασθαι. ὁ μὲν οὖν αὐτοκράτωρ τὰ
he-hastened to-win-over the indeed then autocrat the(-affairs)
τῆς βασιλίδος Μαρίας ἀνέκφορα μένειν ἠβούλετο. καὶ
of-the empress Maria unspoken to-remain wished and
μέντοι καὶ διετήρησε τὸν ἀγνοοῦντα ὑποκριθεὶς δι' ἣν
indeed also maintained the not-knowing having-pretended because-of which
πρὸς αὐτὴν εἶχε πίστιν καὶ ὁμολογίαν καὶ πρὸ τοῦ τὰ τῆς
toward her he-had faith and agreement even before the the of-the
βασιλείας ἀναδέξασθαι σκῆπτρα. διεδίδοτο δὲ πανταχοῦ
empire to-take-up scepters was-spread and everywhere
τὴν τοῦ Διογένους βουλὴν παρὰ τοῦ Πορφυρογεννήτου
the — of-Diogenes plan by the Porphyrogennetos
Κωνσταντίνου τοῦ βασιλέως καὶ υἱοῦ αὐτῆς διαμηνυθῆναι
Constantine the emperor and son her to-have-been-reported
τῷ βασιλεῖ, κἂν ἄλλως εἶχε τὸ πρᾶγμα. ἐξ αὐτῶν γὰρ
to-the emperor even-if otherwise was the matter from themselves for
τῶν ἐξυπηρετουμένων τῷ Διογένει τὰ τῆς βουλῆς
those serving — Diogenes the(-things) of-the plan
ἠρέμα διεπορθμεύετο. ἐπεὶ δ' ὁ Διογένης πεφώρατο καὶ
quietly were-conveyed since and — Diogenes had-been-detected and
δέσμιος ἤδη καὶ ὑπερόριος καθίστατο, καὶ οἱ τῆς αὐτοῦ
prisoner already and exile was-set and those of-the his

βουλῆς ἔκκριτοι οἱ μὴ φθάσαντες ἁλῶναι ὑπόπτους
plan picked those not having-been-first to-be-caught suspect
ἑαυτοὺς ἤδη γεγενημένους διαγνόντες περίφοβοί τε
themselves already become having-discerned very-afraid both
ἐφαίνοντο καὶ σκεπτόμενοι ὅ τι καὶ δράσαιεν, τούτους
appeared and considering what — also they-might-do them
οἱ ἀμφὶ τὸν βασιλέα οὕτω κυμαινομένους κατανοοῦντες ἐν
those about the emperor thus surging observing in
ἀμηχάνοις ἑστάναι ἐδόκουν ἐν στενῷ κομιδῇ τὰ κατ᾽
difficulties to-stand seemed in strait utterly the(-affairs) concerning
αὐτὸν ὁρῶντες ὡς εἰς ῥητούς τινας περιγραφείσης ἤδη
him seeing as to specified some having-been-circumscribed already
τῆς τοῦ αὐτοκράτορος ἀρωγῆς τὸν κίνδυνον ὑπὲρ κεφαλῆς
the of-the autocrat help the danger over head
ἐφιστάμενον ἤδη ἔχοντος. ὁ δὲ βασιλεὺς τοῖς λογισμοῖς
standing already having the and emperor in-the reasonings
ἀλύων ἐς τὰ ἐξ ἀρχῆς καὶ ποσάκις κατ᾽ αὐτοῦ
distraught to the(-things) from beginning and how-many-times against him
ὁ Διογένης ὁρμήσας καὶ σφαλεὶς ἐκ θείας δυνάμεως
— Diogenes having-rushed and having-failed by divine power
αὐτὸς αὐτόχειρ τούτου φονεὺς ἤδη ἐφίστατο, πολλοῖς
he himself his murderer already stood with-many
ἐκυμαίνετο λογισμοῖς. καὶ πολλὰς νοημάτων λαμβάνων
surged reasonings and many of-thoughts receiving
μεταβολὰς καὶ τροπὰς παρ᾽ ἑαυτῷ, ἐπεὶ ἅπαν τοῦ τε
changes and turns within himself since all of-the both
πολιτικοῦ καὶ στρατιωτικοῦ συντάγματος διεφθορὸς ταῖς
civil and military body corrupted by-the
τοῦ Διογένους θωπείαις ἐπέγνω, ἀποχρῶσαν μὴ ἔχων
— of-Diogenes flatteries he-recognized sufficient not having
δύναμιν, ὥστε φρουρὰν πρὸς τοσούτους ἐπιστῆσαι, μήτε
force so-as guard over so-many to-set nor

μὴν ἀκρωτηριάσαι λαὸν παμπληθῆ ἐθέλων τὸν μὲν
indeed to-mutilate a-people very-numerous wishing — indeed
Διογένην καὶ Κεκαυμένον τὸν Κατακαλὼν τοὺς πρωταιτίους
Diogenes and Kekaumenos the Katakalon the ringleaders
ἐς Καισαρόπολιν ἐξέπεμψεν, ἐφ' ᾧ ἐμφρούρους καὶ
to Kaisaropolis sent-out for which under-guard and
δεσμώτας εἶναι μόνον, μηδὲν ἄλλο δεινὸν τέως κατ'
prisoners to-be only nothing other terrible for-the-time against
αὐτῶν βουλευσάμενος, κἂν πάντες ἀκρωτηριάσαι τούτους
them having-planned even-if all to-mutilate them
αὐτῷ ξυνεβούλευον (ἠγάπα γὰρ τὸν Διογένην διαφερόντως
to-him advised he-loved for — Diogenes exceedingly
καὶ τῆς προτέρας ἔτι περὶ αὐτὸν εἶχετο κηδεμονίας),
and to-the former still about him held care
ὑπερόριον δὲ καὶ τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ Μιχαὴλ
into-exile and also the on sister brother-in-law his Michael
τὸν Ταρωνίτην καὶ τὸν *** καὶ τὰς περιουσίας αὐτῶν
the Taronites and the (lacuna) and the properties their
ἀφελόμενος. τὰ δέ γε κατὰ τοὺς λοιποὺς ἀσφαλὲς
having-taken-away the(-affairs) and at-least concerning the rest safe
ἐλογίσατο μηδὲ εἰς ἐξέτασιν ἀγαγεῖν ὅλως, ἀλλὰ διὰ
he-reckoned not-even to examination to-bring at-all but through
συμπαθείας τούτους μᾶλλον καταμαλθάξαι. κατὰ μὲν οὖν
sympathy them rather to-soften at indeed then
τὴν ἑσπέραν ἕκαστος τῶν ὑπερορίων τὴν λαχοῦσαν αὐτῷ
the evening each of-the exiles the allotted to-him
κατελάμβανε, καὶ ὁ Διογένης τὴν Καισαρόπολιν· τῶν δ'
reached and — Diogenes — Kaisaropolis of-the and
ἄλλων οὐδεὶς τῆς οἰκείας μεθίστατο καταστάσεως, ἀλλ'
others none from-the own moved condition but
ἐπὶ ταὐτοῦ ἅπαντες μεμενήκεσαν.
on the-same all remained

Fearing an attack, Alexios' kin spread a rumor that Diogenes will be blinded. At dawn the guards and kinsmen ring the throne, and the suspects file in terrified. Alexios reminds them that he never wronged Diogenes but treated him as his own child, and that Diogenes plotted his death in return. They acclaim him, and he pardons all. Without his knowledge Diogenes and Katakalon are blinded on the feast of the apostles. Anna leaves to God whether her father consented.

Ἐν τούτοις δὲ τοῖς δεινοῖς ὄντων τῇ μετ' αὐτὴν
in these and the terrors being on-the after it
βουλομένου τοῦ αὐτοκράτορος μετακαλέσασθαι πάντας
wishing the autocrat to-summon all
καὶ τὸ δοκοῦν αὐτῷ διαπράξασθαι, ὁπόσοι εἰς τὸν
and the seeming to-him to-accomplish as-many-as for the
αὐτοκράτορα πόθον ἐγκάρδιον ἔτρεφον τῶν τε ἐξ
autocrat longing heartfelt nourished of-those both of
αἵματος καὶ ἀγχιστείας αὐτῷ προσηκόντων καὶ ὁπόσοι
blood and marriage to-him related and as-many-as
πατρῷοι θεράποντες τότε παρῆσαν, ὀμβριμοεργοὶ καὶ
paternal servants then were-present vigorous and
ταχεῖς μὲν συνιδεῖν τὸ μέλλον, ἀγχίνοι δὲ τὸ συνοῖσον
quick indeed to-perceive the future shrewd and the advantageous
ἐν ἀσκέπτῳ καταπράξασθαι χρόνῳ, δεδιότες μή πως
in unconsidered to-accomplish time fearing lest somehow
τῇ μετ' αὐτὴν τοῦ πλήθους συρρεύσαντος ἐφορμήσαντές
on-the after it the multitude having-flowed-together having-rushed
τινες διαμελίσωσιν αὐτὸν ἐπὶ τοῦ θρόνου πολλάκις
some should-cut-to-pieces him on the throne often
ξίφη ὑπὸ τὰ ἀμφία φέροντες ὥσπερ ποτὲ ἐκεῖνος ὁ
swords under the garments carrying as once that-one the
σφαιρίζοντι τούτῳ ἐν σχήματι προσαίτου προσελθών (τὸ
playing-ball to-him in guise of-beggar having-come the

δὲ οὐκ ἄλλην εἶχε τὴν θεραπείαν ἢ τὸ τὰς πρὸς τὸν
and not other had the remedy than the the toward —
Διογένην ἁπάντων περιελεῖν ἐλπίδας, τὴν τῶν τούτου
Diogenes of-all to-take-away hopes the of-the his
ὀμμάτων ὡς ἐν παραβύστῳ διαφημισάντων ἐκτύφλωσιν)
eyes as in a-corner having-spread-abroad blinding
μεταπεμψάμενοί τινας διαπέμπονται τοὺς τοῦτο πρὸς
having-summoned some send-around those this to
πάντας διακηρυκεύσοντας ἐν ἀπορρήτοις, κἂν μηδ' εἰς
all going-to-proclaim in secret even-if not-even into
νοῦν οὔπω τοῦτο τοῦ αὐτοκράτορος ὅλως ἀνῄει. ὁ
mind not-yet this of-the autocrat at-all came-up the
δὲ λόγος οὗτος κἂν ψιλὸς τότ' ἦν, εἰς ἔργον ὅμως
and word this even-if bare then was into deed nevertheless
προὐβέβηκε, καθὼς ὁ λόγος κατωτέρω διατρανώσειεν.
proceeded as the account below may-make-clear
ἐπὰν δὲ ὁ ἥλιος τοῦ ὁρίζοντος ὑπερκύψας λαμπρὸς
when and the sun the horizon having-peeped-over brilliant
ἀνέθορεν, ὁπόσοι τῶν περὶ τὸν αὐτοκράτορα μὴ τῆς τοῦ
leapt-up as-many-as of-the about the autocrat not of-the —
Διογένους λύμης μετειλήχασι καὶ αὐτοὶ δὲ οἱ πάλαι τῶν
of-Diogenes defilement partook also themselves and the long-ago of-the
βασιλικῶν σωμάτων τεταγμένοι φύλακες, πρῶτοι πρὸς τὴν
imperial bodies appointed guards first to the
βασιλικὴν ἐχώρουν σκηνὴν οἱ μὲν ξίφη περιεζωσμένοι,
imperial went tent some indeed swords girded
οἱ δὲ δόρατα φέροντες, οἱ δὲ τὰς βαρυσιδήρους
others and spears carrying others and the heavy-iron
ῥομφαίας ἐπὶ τῶν ὤμων ἔχοντες, ἐκ διαστήματός τινος
broadswords on the shoulders having from distance some
τοῦ βασιλικοῦ θρόνου εἰς μηνοειδὲς σχῆμα ἑαυτοὺς
of-the imperial throne into crescent-shaped form themselves

ἰλαδὸν καταστήσαντες καὶ οἷον ἐναγκαλισάμενοι τὸν
by-squadrons having-set and as-it-were having-embraced the
αὐτοκράτορα, θυμῷ στρατηγούμενοι πάντες καὶ θήγοντες
autocrat by-anger generaled all and whetting
κἂν μὴ τὰ ξίφη, ἀλλὰ τὰς καρδίας. ὅσον δὲ συγγενὲς
even-if not the swords but the hearts as-much and kin
ἐξ αἵματός τε καὶ ἀγχιστείας τούτῳ προσῆκον, ἀγχοῦ
of blood both and marriage to-him related near
τοῦ βασιλικοῦ θρόνου ἐφ' ἑκάτερα ἵσταντο. δεξιόθεν
the imperial throne on both-sides stood on-the-right
δὲ καὶ ἐξ εὐωνύμων ἕτεροι καθίσταντο ὑπασπισταί.
and also on left others were-set shield-bearers
ὁ δὲ βασιλεὺς ἐπὶ θώκου φοβερὸς προὐκάθητο, οὐ
the and emperor on seat formidable sat not
βασιλικῶς ἐσταλμένος μᾶλλον ἢ στρατιωτικῶς οὐδὲ πολὺ
imperially attired rather than militarily nor much
μετέωρος, ὁποῖα τὰ ἐκείνου μὴ ἐπηρμένα. χρυσὸς
raised such the(-things) of-that-man not exalted gold
δὲ ὅμως τὸν θρόνον ὑπήλειφεν ὑπερανεστήκει τε τὴν
and nevertheless the throne gilded he-stood-above and in-the
κεφαλήν. συνέσταλτο δὲ τούτου τὸ ἐπισκύνιον, τὴν δὲ
head was-drawn and his the brow the and
παρειὰν ἐπίπλεον τότε ὁ ἀγὼν κατεφοίνισσε, τὰ δὲ
cheek more then the contest reddened the and
ὄμματα πεπηγότα ἐπὶ συννοίας καὶ πλήρη ἐνθυμημάτων
eyes fixed on thought and full of-reflections
ὑπεμφαίνοντα τὴν ψυχήν. συνέθεον δὲ ἅπαντες ὁμοῦ
indicating the soul ran-together and all together
πεφοβημένοι καὶ τὰς ψυχὰς μικροῦ ἐς ἀέρα ἐξερεύξασθαι
frightened and the souls almost into air to-belch-out
ὑπὸ φόβου ἐκβιαζόμενοι, τῶν μὲν ὀξύτερον βέλους ὑπὸ
by fear forced some indeed sharper than-an-arrow by

τῆς σφῶν συνειδήσεως κεντουμένων, τῶν δὲ τὴν κενὴν
the own conscience being-goaded others and the empty
ὑποψίαν δεδιότων. φωνὴ δέ τις παρ᾽ οὐδενὸς ἐξηκούετο,
suspicion fearing voice and any from no-one was-heard
ἀλλ᾽ ἀτενὲς πρὸς τὸν ἐφεστηκότα τῇ πύλῃ τῆς σκηνῆς
but intently toward the(-one) stationed at-the gate of-the tent
ἀπονεύοντες ἐπτοημένοι ἑστήκεσαν. ἀνὴρ δὲ οὗτος καὶ
looking terrified stood a-man and this-one both
εἰπεῖν συνετὸς καὶ καταπράξασθαι δυνατός· Τατίκιος τούτῳ
to-speak intelligent and to-accomplish able Tatikios to-him
τὸ ὄνομα. τούτῳ ὁ βασιλεὺς ἐνατενίσας δοῦναι τοῖς
the name at-him the emperor having-gazed to-give to-those
ἔξωθεν τὴν εἴσοδον διὰ τοῦ βλέμματος ἐνέφηνεν. ὁ δὲ
outside the entrance through the look showed he and
παραχρῆμα τῆς εἰσόδου τούτοις παραχωρεῖ. οἱ δὲ καίπερ
immediately the entrance to-them yields they and although
δεδιότες, ἀλλ᾽ ὅμως εἰσῄεσαν τετραμμένοι τε τὰς ὄψεις
fearing but nevertheless entered turned both in-the faces
καὶ βραδεῖ ποδὶ στείχοντες. κατὰ στοίχους δὲ τὴν στάσιν
and with-slow foot stepping in rows and the position
λαχόντες ἐκαραδόκουν τὸ μέλλον ἕκαστος δεδιὼς ὡς τὸν
having-received awaited the future each fearing as the
περὶ ψυχῆς λοίσθιον δρόμον δραμούμενος. ἀλλ᾽ οὐδὲ αὐτὸς
about life last race going-to-run but not-even himself
ὁ αὐτοκράτωρ ἐθάρρει παντάπασι (κατ᾽ ἄνθρωπον
the autocrat was-confident entirely according-to man
λέγω, εἰ μὴ ὅσον εἰς θεὸν ἀναφέρων τὸ πᾶν) δεδιὼς
I-say if not as-far-as to God referring the whole fearing
τὸ σύμμικτον τῶν παρεστώτων, μὴ ἄλλο τι ὀξὺ καὶ
the mixed-body of-the standing-by lest other something sharp and
δεινὸν κατ᾽ αὐτοῦ μελετήσαιεν. στερροτέροις δὲ λογισμοῖς
terrible against him they-might-plan with-firmer and reasonings

ἑαυτὸν ἑδράσας καὶ ἅπαξ τοῖς ἀγῶσιν ἐγκαταστὰς τῆς
himself having-settled and once in-the contests having-entered the
πρὸς αὐτοὺς δημηγορίας ἤρχετο (οἱ δὲ καὶ αὐτῶν
to them harangue began they and even than-the-very
ἰχθύων ἀφωνότεροι ἑστήκεσαν καθαπερεὶ τὰς γλώττας
fishes more-voiceless stood as-if the tongues
ἐκκεκομμένοι) "οἴδατε" λέγων "ὡς οὐδὲν δεινὸν παρ' ἐμοῦ
cut-out you-know saying that nothing terrible from me
ὁ Διογένης ἐπεπόνθει ποτέ. οὔτε γὰρ τὴν ἀρχὴν ταυτησὶ
— Diogenes had-suffered ever neither for the rule of-this-here
τῆς βασιλείας ἐκ τοῦ πατρὸς αὐτοῦ ἀφειλόμην ἐγώ, ἀλλ'
the empire from the father his took-away I but
ἕτερος, οὔτε τι δεινὸν ἢ λυπηρὸν τὸ παράπαν εἰς
another nor anything terrible or grievous the at-all to
αὐτὸν πέπραχα. καὶ τῆς βασιλείας εἰς ἐμὲ θεοῦ πάντως
him I-have-done and the empire to me of-God surely
νεύσει μεταβιβασθείσης οὐ μόνον αὐτὸν καὶ τὸν αὐτοῦ
by-the-nod having-been-transferred not only him and the his
ἀδελφὸν Λέοντα ἐπὶ ταὐτοῦ διεφύλαξα, ἀλλ' ὡς οἰκείους
brother Leo on the-same I-preserved but as own
παῖδας καὶ ἐπόθησα καὶ ἐχρησάμην. τὸν δὲ Νικηφόρον καὶ
children both I-longed-for and treated — and Nikephoros also
πολλάκις κατ' ἐμοῦ βουλευόμενον φωράσας τοσαυτάκις
many-times against me plotting having-detected so-many-times
συμπαθείας ἠξίωσα. καὶ μηδὲ πάλιν διορθουμένου
of-sympathy I-deemed-worthy and not-even again correcting-himself
ἠνειχόμην ἐπικρύπτων τὰ πολλὰ τῶν αὐτοῦ μνημάτων
I-endured hiding the many of-the his grudges
κατανοῶν τὴν τῶν ἁπάντων πρὸς αὐτοὺς δυσμένειαν,
perceiving the of-the all toward them hostility
κἂν μηδὲν τῶν παρ' ἐμοῦ εἰς αὐτὸν γενομένων ἀγαθῶν
even-if nothing of-the from me to him having-happened good-things

τὸ δολερὸν τῆς αὐτοῦ γνώμης ἠλλοίωσεν. ἀλλ᾽ αὐτὸς
the crafty of-the his mind changed but he
ἀντὶ πάντων θάνατόν μοι ἐπεψηφίσατο.᾽᾽ ἐπεβόησαν
instead-of all death for-me voted shouted
δ᾽ ἐπὶ τούτοις ἅπαντες, ὡς οὐ βούλοιντ᾽ ἂν ἕτερον
and at these-things all that not they-would-wish — another
προεστηκότα ἐν βασιλείῳ ἰδεῖν σχήματι, οὐ τοῦτο οἱ
presiding in imperial to-see form not this the
πλείους βουλόμενοι, ἀλλ᾽ ἦσαν θῶπες αὐτῶν οἱ λόγοι
most wishing but were flatterers their the words
τὸν ὑπόγυον διαδρᾶναι κίνδυνον ἐντεῦθεν μηχανωμένων. ὁ
the imminent to-escape danger thence contriving the
δὲ βασιλεὺς προαρπάσας τὸν καιρὸν συμπαθείας κοινῆς
and emperor having-snatched-first the occasion of-sympathy common
τοὺς πλείονας ἠξίου ὡς τῶν αἰτίων τῆς βουλῆς
the most deemed-worthy as of-the causes of-the plot
ὑπερορίαν πρότερον κατακριθέντων. ἐπὶ τούτοις θροῦς
to-exile before having-been-condemned at these-things noise
ἦρτο πολύς, οἷον οὐδείς πω τῶν τότε παρόντων ***
rose great such-as no-one ever of-those then present (lacuna)
εἰς ἔτι καὶ νῦν τῶν ὤτων ὡς λέγουσιν ἐντὸς εἰσεδέξατο,
for still also now of-the ears as they-say inside received
τῶν μὲν ἐπαινούντων τὸν βασιλέα καὶ θαυμαζόντων
some indeed praising the emperor and wondering-at
τῆς ἀνεξικακίας καὶ πραότητος, τῶν δὲ τοὺς ὑπερορίους
the forbearance and gentleness others and the exiles
διασυρόντων καὶ θανάτου ἀξίους εἶναι διενισταμένων,
disparaging and of-death worthy to-be affirming
ὁποῖα τὰ τῶν ἀνθρώπων. ὃν γὰρ τὴν σήμερον
such the(-things) of-the men whom for the today
μακαρισμῶν ἀξιοῦσι προπέμπουσί τε καὶ διὰ τιμῆς
of-blessings they-deem-worthy they-escort both and with honor

ἄγουσιν, ἐπὰν περιτραπέντα τούτῳ τοῦ βίου τὸν κύβον
lead when overturned for-him of-the life the die
θεάσοιντο, πᾶν τοὐναντίον εἰς αὐτὸν ἐνδεικνύμενοι οὐκ
they-should-see all the-opposite toward him showing not
αἰσχύνονται. ὁ δὲ βασιλεὺς νεύματι τούτους κατασιγάσας
they-are-ashamed the and emperor with-a-nod them having-silenced
αὖθις ἔφη "οὐ χρὴ θορυβεῖσθαι οὐδὲ συγχεῖν τὴν
again he-said not it-is-right to-be-troubled nor to-confound the
προκειμένην ὑπόθεσιν. ἔγωγε γάρ, καθὼς ἔφην, ἅπαντας
proposed matter I-for-my-part for as I-said all
συμπαθείας ἀξιώσας πάλιν ὁποῖος τὸ πρότερον πρὸς
of-sympathy having-deemed-worthy again such the before toward
ὑμᾶς ἔσομαι." ἐν ᾧ δὲ τούτους συμπαθείας ὁ βασιλεὺς
you I-will-be in which and them of-sympathy the emperor
ἠξίου, ἄτερ τῆς αὐτοῦ γνώμης ἀποστείλαντες οἱ τὴν
deemed-worthy without the his mind having-sent those the
βουλὴν ἐκείνην βουλευσάμενοι τῶν ὀμμάτων τὸν Διογένην
plan that having-planned of-the eyes — Diogenes
ἐστέρησαν. ταὐτὰ τούτῳ καὶ κατὰ τοῦ Κεκαυμένου
deprived the-same to-this also against — Kekaumenos
Κατακαλὼν ὡς τῆς αὐτῆς βουλῆς κεκοινωνηκότος τῷ
Katakalon as of-the same plan having-shared —
Διογένει κατεψηφίσαντο. ἡμέρα δὲ ἦν, ἐν ᾗ ἡ τῶν
to-Diogenes voted day and it-was on which the of-the
κορυφαίων ἀποστόλων μνήμη ἐτελεῖτο. ἀλλὰ ταῦτα
chief apostles memorial was-celebrated but these(-things)
μὲν ἔκτοτε καὶ μέχρι σήμερον λογοποιεῖται· εἰ δὲ καὶ ὁ
indeed from-then and until today is-told-as-a-story if and also the
βασιλεὺς περὶ τούτου παρ᾽ αὐτῶν εἰσηγηθεὶς ἐνδέδωκεν
emperor about this by them having-been-prompted gave-way

ἢ καὶ τὸ πᾶν τῆς ἐκείνου γνώμης ἦν, θεὸς ἂν εἰδείη·
or also the whole of-the that-one's mind it-was God — would-know
ἔγωγε τέως οὐ πάνυ τι γινώσκειν ἔχω βεβαίως.
I-for-my-part for-the-time not very at-all to-know can securely

LIII · BOLKANOS SUBMITS; DIOGENES BLIND

Alexios reaches Lipenion, and Bolkanos, taking courage, comes in person and hands over his nephews Ouresis and Stephen Bolkanos and others as hostages, twenty in all. Alexios returns home. He grieves for Diogenes and restores much of his property. Blind, Diogenes lives on his estates, has the ancients read to him, and masters geometry by handling solid figures, as Didymos did. Anna has spoken with him herself. He plots again, confesses at once, and is pardoned.

Τοιαῦτα μὲν οὖν τὰ ἐκ τοῦ Διογένους συμπεσόντα
such indeed then the(-things) from — Diogenes having-befallen
τῷ αὐτοκράτορι, παραδόξως τῆς ἀμάχου τοῦ ὑψίστου
the autocrat unexpectedly the invincible of-the Most-High
χειρὸς ῥυσαμένης τοῦτον ἐξ ὑπογύου κινδύνου· αὐτὸς
hand having-rescued him from imminent danger he
δὲ πρὸς οὐδὲν τῶν συμπιπτόντων ἐμαλακίζετο,
and at nothing of-the(-things) befalling grew-weak
ἀλλὰ καὶ ὡς κατευθὺ Δαλματίας ἤλαυνε. μεμαθηκὼς
but also as straight-for Dalmatia drove having-learned
δὲ ὁ Βολκάνος τὴν εἰς τὸ Λιπένιον τοῦ αὐτοκράτορος
and — Bolkanos the to — Lipenion of-the autocrat
ἔλευσιν καὶ ἐπικαταλαβόντα τοῦτον θεασάμενος καὶ
coming and having-arrived him having-beheld and
πρὸς τὰς Ῥωμαϊκὰς παρατάξεις καὶ τὸν συνασπισμὸν
against the Roman battle-lines and the locking-of-shields
ἐκεῖνον καὶ τὴν στρατηγικὴν πανοπλίαν μηδ' ἀντωπῆσαι
that and the generalship's panoply not-even to-face

δυνάμενος ἀποστείλας παραχρῆμα τὰ περὶ εἰρήνης
being-able having-sent immediately the(-terms) about peace
ἠρώτα ὑπισχνούμενος ἅμα καὶ αὐτοὺς τοὺς
asked promising at-the-same-time also the-very the
προὐποσχεθέντας ὁμήρους ἀποστεῖλαι καὶ μηδέν τι δεινὸν
promised-before hostages to-send and nothing at-all terrible
τοῦ λοιποῦ διαπράξασθαι. δέχεται τοίνυν τὸν βάρβαρον
for-the rest to-do receives therefore the barbarian
ἀσμένως ὁ αὐτοκράτωρ ἀκηδιῶν οἷον καὶ ἀποστρεφόμενος
gladly the autocrat being-weary as-it-were and turning-away-from
τὴν ἐμφύλιον μάχην· κἂν γὰρ Δαλμάται ἦσαν, ἀλλ' ὅμως
the civil battle even-if for Dalmatians they-were but nevertheless
Χριστιανοί. ἐκεῖνος δ' εὐθὺς τεθαρρηκὼς προσεληλύθει
Christians that-one and at-once having-taken-courage had-come
συνεπαγόμενος τούς τε συγγενεῖς καὶ ἐκκρίτους τῶν
bringing-with-him the both kinsmen and picked-men of-the
ζουπάνων καὶ προθύμως ὁμήρους τοὺς αὐτοῦ ἀνεψιαδεῖς
zoupans and eagerly as-hostages the his nephews
τῷ αὐτοκράτορι παραδέδωκε, τόν τε Οὔρεσιν καλούμενον
to-the autocrat handed-over — both Ouresis called
καὶ Στέφανον τὸν Βολκάνον καὶ ἑτέρους τὸν εἴκοσιν
and Stephen the Bolkanos and others the twenty
ἀριθμὸν ἀποπληροῦντας. οὐ γὰρ ἐνὸν ἦν αὐτῷ ἄλλως πως
number filling-up not for possible was for-him otherwise somehow
τοῦ λοιποῦ διατεθήσεσθαι. ὁ δὲ αὐτοκράτωρ, ὁπόσα
for-the rest to-be-disposed the and autocrat as-many-as
διὰ μάχης καὶ σιδήρου ἀνύεσθαι πέφυκεν, εἰρηνικῶς
through battle and iron to-be-accomplished are-wont peacefully
διαλύσας πρὸς τὴν βασιλεύουσαν ἐπανέστρεψε. τοῦ μέντοι
having-settled to the reigning(-city) returned — however
Διογένους ἐκήδετο πάνυ καὶ δακρύων ὡρᾶτο καὶ βύθιον
of-Diogenes he-cared very and in-tears was-seen and deep

στένων δι᾽ αὐτὸν ἐξηκούετο πολλήν τε τὴν περὶ αὐτὸν
groaning for him was-heard much both the toward him
φιλοφροσύνην ἐπεδείκνυτο καὶ ἀνακτᾶσθαι τοῦτον ἔσπευδε
kindness he-showed and to-win-over him hastened
κἂν τοῖς πλείοσι τῶν ἐξ αὐτοῦ ἀφαιρεθέντων αὖθις τοῦτον
and-in the more of-the from him taken-away again him
ἀποκατέστησεν. αὐτὸς δὲ κατακώχιμος ὑπὸ τῆς λύπης
he-reinstated he and possessed by the grief
ὢν καὶ τὴν ἐν τῇ μεγαλοπόλει διατριβὴν ἀποστρεφόμενος
being and the in the great-city stay turning-away-from
τοῖς ἰδίοις ἀγροῖς ἐμφιλοχωρῶν ἦν ταῖς τῶν παλαιῶν
on-the own estates fond-of-staying was to-the of-the ancients
προσανέχων διόλου βίβλοις ἄλλων ὑπαναγινωσκόντων
devoted throughout books others reading-aloud
αὐτῷ. στερούμενος γὰρ φωτὸς ἑτέρων ἐχρᾶτο πρὸς
to-him being-deprived for of-light of-others he-used for
τὴν ἀνάγνωσιν ὄμμασιν. ἀνὴρ δὲ οὗτος τοσοῦτος τὴν
the reading eyes a-man and this-one so-great in-the
φύσιν ὡς καὶ μὴ ὁρῶν τὰ τοῖς ὁρῶσι δυστέκμαρτα
nature that even not seeing the(-things) to-those seeing hard-to-make-out
ῥᾳδίως καταλαμβάνειν. πᾶσαν μὲν δὴ ἔκτοτε παιδείαν
easily to-grasp all indeed truly from-then education
διελθὼν καὶ αὐτὴν δὴ τὴν περίκλυτον γεωμετρίαν,
having-gone-through and itself indeed the renowned geometry
τὸ καινότατον, φιλοσόφων τινὶ ἐντυχὼν διὰ
the newest of-philosophers with-a-certain-one having-met through
στερεῶν τούτῳ τὰ σχήματα παρέχειν ἐπέταττεν· ὁ δὲ
solids him the figures to-provide he-ordered he and
τῇ τῶν χειρῶν ψηλαφήσει ἁπάντων τῶν τῆς γεωμετρίας
by-the of-the hands feeling of-all the of-the geometry
θεωρημάτων τε καὶ σχημάτων ἔσχε κατάληψιν καθάπερ
theorems both and figures had comprehension like

ἐκεῖνος ὁ Δίδυμος, ὃς δι᾽ ὀξύτητα νοῦ καὶ ἄνευ
that — Didymos who because-of sharpness of-mind even without
ὀμμάτων μουσικῆς καὶ γεωμετρίας εἰς ἄκρον ἐλήλυθεν, εἰ
eyes of-music and geometry to the-summit came if
καὶ μετὰ τὴν γνῶσιν τούτων εἰς αἵρεσιν ἄτοπον συνηλάθη
even after the knowledge of-these into heresy strange was-driven
τὸν νοῦν ἐκτυφλωθεὶς ὑπὸ κενοδοξίας καθάπερ ὑπὸ πάθους
in-the mind blinded by vainglory as by suffering
τὰ ὄμματα. θαυμάζει μὲν οὖν ἅπας ταῦτα ἀκούων·
the eyes wonders indeed then everyone these(-things) hearing
ἐγὼ δὲ καὶ τεθέαμαι τὸν ἄνδρα καὶ τεθαύμακα καὶ περὶ
I and also have-seen the man and have-wondered and about
τοιούτων λαλοῦντος ἀκήκοα· μηδ᾽ αὐτὴ δὲ τῶν τοιούτων
such-things him-talking have-heard nor I-myself and of-the such-things
παντάπασιν ἀμελέτητος οὖσα ἐπεγίνωσκον τοῦτον ἀκριβῆ
entirely unpracticed being I-recognized him exact
τῶν θεωρημάτων γνῶσιν ἔχοντα. εἰ δὲ καὶ περὶ λόγους
of-the theorems knowledge having if and also about letters
ἠσχόλητο, τῆς παλαιᾶς ὅμως κατὰ τοῦ αὐτοκράτορος
he-was-occupied of-the old nevertheless against the autocrat
οὐκ ἀφίστατο μήνιδος, ἀλλὰ τὸν τῆς τυραννίδος λογισμὸν
not stood-away from-wrath but the of-the tyranny reasoning
ὑποτυφόμενον εἶχε διόλου. καὶ μέντοι καί τισιν αὖθις
smoldering he-had throughout and indeed also to-some again
τοῦ ἀπορρήτου τούτου κεκοινώνηκε λογισμοῦ, ἀφ᾽ ὧν
of-the secret this he-communicated reasoning from whom
εἷς τις τὰ βεβουλευμένα προσελθὼν προσαγγέλλει τῷ
one someone the plans having-gone reports to-the
αὐτοκράτορι. μεταπεμψάμενος δὲ τὸν Διογένην ἐπυνθάνετο
autocrat having-summoned and — Diogenes he-asked
περὶ ὧν τε βεβούλευται καὶ περὶ τῶν τῆς βουλῆς αὐτῷ
about what both he-has-planned and about those of-the plan with-him

κεκοινωνηκότων. καὶ ὃς ἅπαντα θᾶττον ἀνομολογήσας
having-shared and he all more-quickly having-confessed
παραχρῆμα συμπαθείας ἠξίωτο.
immediately of-sympathy was-deemed-worthy

BOOK X

LIV · NEILOS AND THE BLACHERNITES

After Italos comes Neilos, a self-taught ascetic who never understood the hypostatic union and teaches that Christ's assumed nature was deified by nature. Alexios argues with him but cannot move him, and Armenians, Tigranes and Arsakes among them, take up his doctrine. A synod under the patriarch Nicholas lays Neilos under anathema and proclaims the hypostatic union. The Blachernites, a priest who had joined the Enthusiasts, is condemned with him.

Ἐπεὶ δὲ τὴν ἐκκλησίαν ὥσπερ τι ῥεῦμα κακίας ὁ
since and the church like some stream of-wickedness —
Νεῖλος ἐκεῖνος ἐπικλύζων πολὺν τὸν σάλον ταῖς τῶν
Neilos that flooding much the tossing in-the of-the
ἁπάντων ἐνεποίει ψυχαῖς μετ᾽ οὐ πολὺ τῆς τῶν τοῦ
all caused souls after not long of-the of-the —
Ἰταλοῦ δογμάτων καθαιρέσεως ἀναφανεὶς καὶ πολλοὺς
of-Italos doctrines destruction having-appeared and many
ταῖς δίναις τῆς αὐτοῦ κακοδοξίας ἐβύθισεν (ἀνὴρ δὲ
in-the eddies of-the his heterodoxy sank a-man and
οὗτος δεξιὸς μὲν τὴν ἀρετὴν ὑποκρίνασθαι οὐκ οἶδα
this-one skilled indeed the virtue to-feign not I-know
μὲν ὅθεν, τέως δ᾽ οὖν τῇ μεγαλοπόλει ἐφοίτησε καὶ
indeed whence for-the-time but then to-the great-city came and
ἐγγωνιάζων Θεῷ μόνῳ δῆθεν καὶ ἑαυτῷ προσανεῖχε
keeping-in-a-corner to-God alone supposedly and to-himself devoted-himself

διὰ παντὸς ταῖς ἱεραῖς βίβλοις ἐνασχολούμενος, ἀμύητος
through all with-the holy books being-occupied uninitiated
δὲ πάσης Ἑλληνικῆς παιδείας ὢν καὶ μηδὲ καθηγητήν
and in-all Hellenic education being and not-even a-teacher
τινα ἐσχηκὼς ἀρχῆθεν τὸν ὑφαπλοῦντα τούτῳ τὸ
any having-had from-the-beginning the(-one) unfolding to-him the
τῆς θείας γραφῆς βάθος ἐνεκεκύφει μὲν τοῖς τῶν ἁγίων
of-the divine scripture depth he-had-pored indeed over-the of-the saints
συγγράμμασιν, ἄγευστος δὲ πάσης παιδείας λογικῆς ὢν
writings untasted and of-all education logical being
ἐπεπλάνητο περὶ τὸν νοῦν τῶν γραφῶν, οὐκ ἀγεννῆ
he-had-strayed about the sense of-the scriptures not ignoble
δέ τινα χορὸν ὑποσυρόμενος ἐν μεγάλαις οἰκίαις εἰσέδυ
and some chorus drawing-in into great houses he-slipped
διδάσκαλος αὐτοχειροτόνητος, τὸ μέν τι διὰ τὴν
a-teacher self-appointed partly indeed somewhat because-of the
ἐπιφαινομένην αὐτῷ ἀρετὴν καὶ τὸ κατεσκληκὸς ἐκεῖνο
appearing in-him virtue and the dried-up that
ἦθος, τὸ δὲ καὶ διὰ τὴν ὑποκεκρυμμένως ἐμφαινομένην
character partly and also because-of the covertly showing
αὐτῷ τάχα γνῶσιν· ἔνθεν τοι καὶ τὴν καθ' ὑπόστασιν
in-him perhaps knowledge whence surely also the according-to hypostasis
ἕνωσιν τοῦ καθ' ἡμᾶς ἀγνοήσας μυστηρίου καὶ μήθ' ὅ
union of-the of us not-knowing mystery and neither what
τι ἐστὶν ἕνωσις ἁπλῶς συνιέναι δυνάμενος μήθ' ὅ τι
— is union simply to-understand being-able nor what —
ἐστὶν ὅλως ὑπόστασις εἰδὼς οὔτε διακεκριμένως ὑπόστασιν
is at-all hypostasis knowing neither distinctly hypostasis
ἢ ἕνωσιν νοεῖν δυνάμενος μήτ' αὖθις ἡνωμένως καθ'
or union to-conceive being-able nor again unitedly according-to
ὑπόστασιν ἕνωσιν μήθ' ὅπως ἐθεώθη τὸ πρόσλημμα παρὰ
hypostasis union nor how was-deified the assumed-nature by

τῶν ἁγίων διδασκόμενος, πόρρω τοῦ ὄντος ἐξενεχθεὶς
the saints being-taught far from-the truth carried
φύσει τοῦτο θεωθῆναι ἐδόξαζεν ἀπατώμενος), οὐδὲ τοῦτο
by-nature this to-be-deified held being-deceived not-even this
διέλαθε τὸν αὐτοκράτορα· ἀλλ' ὡς ᾔσθετο τὰ περὶ
escaped the autocrat but when he-perceived the(-things) about
τούτου ὀξύρροπον ἐπινοεῖ τὴν βοήθειαν καὶ τὸν ἄνδρα
this swift devises the help and the man
μετακαλεσάμενος πολλὰ τοῦ θράσους καὶ τῆς ἀμαθίας
having-summoned much for-the boldness and the ignorance
ἐμέμφετο καὶ πολλὰ τοῦτον ἐλέγξας τήν τε καθ'
blamed and much him having-refuted the both according-to
ὑπόστασιν ἕνωσιν τοῦ θεανθρώπου λόγου τρανῶς ἐδίδασκε
hypostasis union of-the God-man Word clearly taught
καὶ τὸν τῆς ἀντιδόσεως τρόπον παρίστα καὶ ὅπως ἐθεώθη
and the of-the exchange manner presented and how was-deified
τὸ πρόσλημμα μετὰ τῆς ἄνωθεν ἐδίδασκε χάριτος. ὁ
the assumed-nature with the from-above he-taught grace he
δὲ τῆς ἰδίας ψευδοδοξίας ἀπρὶξ εἶχετο καὶ πρὸς πᾶσαν
and to-the own false-opinion tenaciously held and to every
κάκωσιν, στρέβλας τε καὶ δεσμὰ καὶ ξεσμοὺς σαρκὸς
ill-treatment rackings both and bonds and scrapings of-flesh
ἑτοιμότατος ἦν ἢ ἀποστῆναι τοῦ μὴ θεωθῆναι φύσει
most-ready he-was than to-desist from-the not to-be-deified by-nature
διδάσκειν τὸ πρόσλημμα. εἶχε δὲ τότε καὶ πολλοὺς τῶν
to-teach the assumed-nature had and then also many of-the
Ἀρμενίων ἡ μεγαλόπολις, οἷς τῆς ἀσεβείας ὑπέκκαυμα ὁ
Armenians the great-city to-whom of-the impiety a-kindling —
Νεῖλος ἐκεῖνος ἐγίνετο· ἐντεῦθεν διαλέξεις τε συχναὶ πρὸς
Neilos that became thence disputations both frequent with
τὸν Τικράνην ἐκεῖνον καὶ τὸν Ἀρσάκην, οὓς ἐπὶ πλέον τὰ
— Tigranes that and — Arsakes whom for more the

τοῦ Νείλου δόγματα πρὸς ἀσέβειαν ἠρέθιζε. τί τὸ
— of-Neilos doctrines to impiety provoked what the(-thing)
ἐντεῦθεν; τὴν ἀσέβειαν πολλῶν ἐπινεμομένην ψυχὰς ὁρῶν
thereupon the impiety of-many feeding-on souls seeing
ὁ αὐτοκράτωρ καὶ ἀλλήλοις τὰ τοῦ Νείλου καὶ τῶν
the autocrat and with-each-other the(-things) — of-Neilos and of-the
Ἀρμενίων ἐπιπλεκόμενα καὶ ἁπανταχῇ τὸ φύσει θεωθῆναι
Armenians being-intertwined and everywhere the by-nature to-be-deified
τὸ πρόσλημμα λαμπρᾷ φωνῇ κηρυττόμενον ἀθετουμένας
the assumed-nature with-brilliant voice being-proclaimed being-set-aside
τε τὰς τῶν ἁγίων πατέρων περὶ τούτου γραφὰς καὶ τὴν
both the of-the saints fathers about this writings and the
καθ' ὑπόστασιν ἕνωσιν ἀγνοουμένην σχεδόν, στῆσαι
according-to hypostasis union being-unknown almost to-stop
τὴν σφοδρὰν τοῦ κακοῦ ῥύμην βουληθεὶς τοὺς τῆς
the violent of-the evil impetus having-wished the of-the
ἐκκλησίας λογάδας συναγαγὼν σύνοδον περὶ τούτους
church picked-men having-gathered a-synod about these
γενέσθαι κοινῇ συνεσκέψατο. καὶ παρῆν τηνικαῦτα ἅπαν
to-be-held in-common he-considered and was-present then all
τὸ τῶν ἀρχιερέων πλήρωμα καὶ αὐτὸς ὁ πατριάρχης
the of-the high-priests body and himself the patriarch
Νικόλαος. καὶ ὁ Νεῖλος εἰς τὸ μέσον μετὰ τῶν Ἀρμενίων
Nicholas and — Neilos into the middle with the Armenians
ἵστατο, καὶ τὰ τούτου ἀνεκαλύπτοντο δόγματα, καὶ
stood and the his were-uncovered doctrines and
ὃς λαμπρᾷ τῇ φωνῇ ταῦτα ἐδίδασκε καὶ ἰσχυρῶς
he with-brilliant the voice these(-things) taught and strongly
αὐτῶν διὰ πλειόνων ἀντείχετο. τί τὸ ἐντεῦθεν; ἡ
them through more clung-to what the(-thing) thereupon the
σύνοδος, ἵνα πολλῶν ἀπαλλάξῃ ψυχὰς τῆς διεφθαρμένης
synod that of-many it-might-free souls from-the corrupted

αὐτοῦ διδαχῆς, αἰωνίῳ τοῦτον καθυπέβαλεν ἀναθέματι
his teaching to-eternal him subjected anathema
καὶ τὴν καθ᾽ ὑπόστασιν ἕνωσιν κατὰ τὰς τῶν
and the according-to hypostasis union according-to the of-the
ἁγίων παραδόσεις ἐμφανέστερον ἀνεκήρυξε. μετὰ τοῦτον ἢ
saints traditions more-manifestly proclaimed after this-one or
μᾶλλον εἰπεῖν σὺν τούτῳ καὶ ὁ Βλαχερνίτης δεδημοσίευτο
rather to-say with this-one also — Blachernites had-been-made-public
ἀσεβὴ καὶ ἔκφυλα τῆς ἐκκλησίας φρονῶν, κἂν ἱερώμενος
impious and alien to-the church thinking even-if ordained
ἦν. Ἐνθουσιασταῖς γὰρ ὁμιλήσας καὶ τῆς τούτων λύμης
he-was with-Enthusiasts for having-consorted and of-the their defilement
μετασχὼν πολλούς τε ἐξαπατῶν καὶ μεγάλας τῶν ἐν
having-partaken many both deceiving and great of-the in
τῇ μεγαλοπόλει οἰκίας ὑπορύττων καὶ παραδιδοὺς τὰ τῆς
the great-city houses undermining and handing-down the of-the
ἀσεβείας δόγματα, ἐπεὶ πολλὰ πολλάκις μεταπεμπόμενος
impiety doctrines since many-times often being-summoned
καὶ διδασκόμενος παρὰ τοῦ αὐτοκράτορος οὐδ᾽ ὅλως
and being-taught by the autocrat not-even at-all
τῆς οἰκείας κακοδοξίας ἀφίστατο, τῇ ἐκκλησίᾳ καὶ
from-the own heterodoxy he-desisted to-the church also
τοῦτον ὁ αὐτοκράτωρ παρέπεμψεν. οἱ δὲ ἐπὶ πλέον
him the autocrat sent they and for more
τοῦτον ἐξετάσαντες, ὡς ἀμετάθετον καὶ αὐτοὶ ἐγνώκεσαν,
him having-examined as unchangeable also they knew
αὐτόν τε αἰωνίῳ ἀναθέματι καὶ τὰ τούτου δόγματα
him both to-eternal anathema and the his doctrines
καθυπέβαλον.
subjected

A man from the camp claims to be Leo, son of Romanos Diogenes, who in fact fell at Antioch. Theodora, Leo's widow, now a nun, is distressed, and Alexios sends the impostor to Cherson. He escapes over the wall to the Cumans, who make him their pretext for invasion. Alexios fortifies the passes and asks God's judgment by leaving two tablets on the altar of Hagia Sophia. He marches out, posts his commanders at Beroe and the passes, and garrisons Adrianople under Bryennios and Katakalon Tarchaneiotes.

Οὕτω μὲν οὖν ὥσπερ τις ἀγαθὸς κυβερνήτης ὁ
thus indeed then like some good helmsman the
αὐτοκράτωρ τὰς ἀλλεπαλλήλους τῶν κυμάτων ἐπιδρομὰς
autocrat the successive of-the waves onrushes
ὥσπερ διανηξάμενος καὶ πολλὴν ἀποκλυσάμενος ἅλμην
as-if having-swum-through and much having-washed-off brine
τῆς οἰκουμένης καὶ τὰ κατὰ τὴν ἐκκλησίαν εὖ
of-the inhabited-world and the(-affairs) concerning the church well
διαθέμενος ἐπ᾽ ἄλλα τινὰ πάλιν πελάγη πολέμων καὶ
having-arranged to other some again seas of-wars and
θορύβων ἐπάγεται. ἀεὶ γὰρ ἕτερον ἐφ᾽ ἑτέρῳ προσίστατο
tumults is-brought always for one upon another confronted
καὶ θάλασσά φασιν ἐπὶ θαλάσσῃ καὶ ποταμὸς κακῶν
and sea they-say upon sea and river of-evils
ἐπὶ ποταμῷ, ὡς μηδ᾽ ἀναπνεῖν ἐᾶν τὸ τοῦ λόγου τὸν
upon river so-that not-even to-breathe to-let the of-the saying the
βασιλέα μηδ᾽ ἐπιμύσαι τὰ βλέφαρα. κἂν ἡμεῖς σταγόνα
emperor nor to-close the eyelids even-if we a-drop
μικράν, εἶπεν ἄν τις εἰκότως, ἐκ τοῦ Ἀδριαντικοῦ
small would-say — anyone reasonably from the Adriatic
πελάγους ἀνιμησάμεθα ὀλίγα τῶν κατ᾽ ἐκεῖνο καιροῦ
sea have-drawn-up few of-the at that of-the-time

πεπραγμένων τῷ βασιλεῖ περιγράψαντες μᾶλλον ἢ
deeds by-the emperor circumscribing rather than
γράψαντες, ἀλλ᾽ ἐκεῖνος ἀντέσχε πρὸς ἅπαντα κύματά
writing but that-one held-out against all waves
τε καὶ κλύδωνας, ἕως τὴν τῆς βασιλείας οὐριοδρομοῦσαν
both and surges until the of-the empire sailing-with-fair-wind
ναῦν εἰς λιμένας ἀκλύστους ὁρμίσειε. καὶ τίς ἂν ἢ
ship into harbors wave-sheltered he-should-moor and who — either
Δημοσθένους ἠχὼ ἢ ῥοῖζος Πολέμωνος ἢ Ὁμηρικαὶ πᾶσαι
of-Demosthenes echo or rush of-Polemon or Homeric all
Μοῦσαι τὰ ἐκείνῳ κατωρθωμένα πρὸς ἀξίαν ὑμνήσειαν;
Muses the by-that-man achievements according-to worth could-hymn
ἐγὼ δ᾽ ἂν φαίην, οὐδ᾽ ἂν αὐτὸς Πλάτων οὐδ᾽ ἂν ξύμπασα
I but — would-say not-even — himself Plato nor — all
στοὰ καὶ ἀκαδημία εἰς ταὐτὸ ξυνεληλυθυῖαι προσῆκον τῆς
Stoa and Academy into the-same having-come-together fittingly of-the
ἐκείνου ψυχῆς ἐφιλοσόφησαν. μήπω γὰρ παυσαμένων τῶν
that-one's soul could-have-philosophized not-yet for having-ceased of-the
χειμώνων ἐκείνων καὶ τῶν πολυπλόκων πολέμων μηδὲ
storms those and the complex wars nor
τοῦ κλύδωνος ἀφυβρίσαντος ἕτερος χειμὼν οὐδενὸς τῶν
of-the surge having-stopped-raging another storm than-none of-the
εἰρημένων ἐλάττων αὐτῷ ἐπεγείρεται. καὶ γὰρ ἄνθρωπός
mentioned less against-him rises and for a-man
τις οὐ τῶν ἐπιφανῶν, ἀλλὰ τῆς κάτω τύχης ἐκ τοῦ
a-certain not of-the illustrious but of-the lower fortune from the
χάρακος ὁρμώμενος τὸν τοῦ Διογένους υἱὸν ἑαυτὸν εἶναι
camp sprung the — of-Diogenes son himself to-be
ἔλεγε, κἂν ἐκεῖνος φθάσας ἀνῃρέθη, ὁπηνίκα τὸν μετὰ
said even-if that-one before was-killed when the with
τῶν Τούρκων κατὰ τὴν Ἀντιόχειαν πόλεμον ὁ Κομνηνὸς
the Turks at — Antioch war — Komnenos

Ἰσαάκιος καὶ αὐτάδελφος τοῦ αὐτοκράτορος συνεκρότησεν·
Isaac and own-brother of-the autocrat fought
ὅπως δὲ τῷ λεπτομερέστερον ἐθέλοντι μανθάνειν
how and for-the(-one) in-more-detail wishing to-learn
ἐξέσται ἀπὸ τῶν τοῦ κλεινοῦ Καίσαρος συγγραμμάτων
it-will-be-possible from the of-the famous Caesar writings
διεντυχεῖν. παρὰ πολλῶν μὲν οὖν ἐπιστομιζόμενος ὁ
to-read-through by many indeed then being-muzzled the
τοιοῦτος ἐπαύετο οὐδαμῶς. καὶ γὰρ ἦλθε μὲν οὗτος ἐξ
such-a-one ceased in-no-way and for came indeed this-man from
ἀνατολῆς πένης τε καὶ σισυροφορῶν, πανουργότατος
east poor both and wearing-a-goat-hair-cloak most-knavish
δὲ ὢν καὶ τὸ ἦθος πολύτροπος περιενόστει τὴν πόλιν
and being and the character versatile went-about the city
κατ᾽ οἴκους τε καὶ ῥυμοτομίας περὶ ἑαυτοῦ ὑψηλά τινα
by houses both and streets about himself lofty some-things
διαγγέλλων καὶ ὡς εἴη τοῦ προβεβασιλευκότος Διογένους
announcing and that he-was of-the predecessor-on-the-throne Diogenes
υἱὸς Λέων ἐκεῖνος, ὃς κατὰ τὴν Ἀντιόχειαν ὑπὸ βέλους,
son Leo that who at — Antioch by an-arrow
ὡς εἴρηται, πληγεὶς ἐτετελευτήκει. ἀναβιώσκων τοίνυν τὸν
as has-been-said struck had-died reviving therefore the
τεθνηκότα οὗτος ὁ ἀλαζὼν τοὔνομά τε ἐκείνου ἑαυτῷ
dead this the impostor the-name both of-that-one on-himself
περιετίθει καὶ φανερῶς ἐβασιλεία καὶ τοὺς κουφοτέρους
put and openly played-emperor and the more-frivolous
ὑπήγετο. καὶ ἦν ἄρα καὶ τοῦτο τὸ δεινὸν ἐπιθήκη τῶν
led-on and it-was after-all also this the terror an-addition to-the
τοῦ βασιλέως συμφορῶν, ὥσπερ τι δρᾶμα ἐπιτραγῳδούσης
of-the emperor misfortunes as-if some drama adding-a-tragic-act
αὐτῷ τῆς Τύχης τοῦτον τὸν κακοδαίμονα· καὶ ὥσπερ,
for-him the Fortune this the wretch and as

οἶμαι, οἱ τρυφῶντες μετὰ τὸν κόρον ἐπιτραγηματίζονται
I-think the luxurious after the satiety take-dessert
τῶν μελιπήκτων τινὰ προσφερόμενοι, οὕτω δῆτα καὶ ἡ
of-the honey-cakes some taking thus indeed also the
τῶν Ῥωμαίων Τύχη πολλοῖς ἐπορχησαμένη κακοῖς καὶ
of-the Romans Fortune on-many having-danced evils and
διακορὴς γεγονυῖα τοῖς τοιούτοις ψευδοβασιλεῦσι τὸν
surfeited having-become with-the such pseudo-emperors the
βασιλέα προσέπαιζεν. ὁ μέντοι αὐτοκράτωρ κατεφρόνει
emperor mocked the however autocrat despised
τῶν λεγομένων παντάπασιν. ἐπεὶ δ' ὁ χαρακηνὸς κἀν
the(-things) said entirely since and the camp-man both-in
ταῖς ἀγυιαῖς κἀν ταῖς ἀμφόδοις ἐν παντὶ καιρῷ τοιαῦτα
the streets and-in the alleys at every time such-things
ληρῶν οὐκ ἐπαύετο, ἦλθε ταῦτα εἰς ἀκοὰς τῆς Ἀλεξίου
babbling not ceased came these(-things) to hearing of-the of-Alexios
τοῦ κρατοῦντος ἀδελφῆς Θεοδώρας καὶ ὁμεύνου τοῦ
the ruler sister Theodora and wife of-the
ἀναιρεθέντος ἐκείνου υἱοῦ τοῦ Διογένους. ἡ δὲ τοὺς λήρους
slain that son — of-Diogenes she and the babblings
ἐκείνους μὴ φέρουσα ἤχθετο. ἐπὶ τῇ σφαγῇ γὰρ τἀνδρὸς
those not bearing was-vexed after the slaughter for of-the-husband
τὸν μονήρη βίον ἠλλάξατο τὸν ἀσκητικὸν ἀκριβέστατα
the solitary life exchanged-for the ascetic most-strictly
μετεληλυθυῖα βίον καὶ Θεῷ μόνῳ προσανέχουσα. ὁ δὲ
having-pursued life and to-God alone devoted the and
αὐτοκράτωρ, ἐπεὶ μετὰ δευτέραν καὶ τρίτην παραίνεσιν ὁ
autocrat since after a-second and third admonition the
λῆρος ἐκεῖνος οὐχ ἡσύχαζεν, ἐς Χερσῶνα τοῦτον ἀποστείλας
babbler that not was-quiet to Cherson him having-sent
ἔμφρουρον εἶναι παρεκελεύσατο. ἐκεῖσε δὲ παραγενόμενος,
under-guard to-be ordered there and having-come

νυκτὸς ἀνερχόμενος διὰ τοῦ τείχους καὶ προκύπτων,
at-night going-up through the wall and leaning-out
τοῖς συνήθως φοιτῶσι Κομάνοις ἐμπορίας χάριν καὶ
to-the customarily coming Cumans of-trade for-the-sake and
τοῦ τὰ πρὸς χρείαν ἐκεῖθεν κομίζεσθαι ἅπαξ καὶ
of-the the(-things) for use from-there to-get once and
δὶς ὁμιλήσας καὶ πίστεις δοὺς καὶ λαβὼν διὰ
twice having-conversed and pledges having-given and having-received with
καλῳδίων νυκτὸς ἑαυτὸν δεσμήσας ἐχαλάσθη τοῦ τείχους.
ropes at-night himself having-tied was-let-down from-the wall
συμπαραλαβόντες δὲ τοῦτον οἱ Κόμανοι πρὸς τὴν ἰδίαν
having-taken-along and him the Cumans to the own
ἀπῄεσαν χώραν. συναυλιζόμενος δὲ τούτοις ἐφ' ἱκανὸν ἐς
went-off land camping-with and them for a-good-while to
τοσοῦτον συνήλασεν, ὡς καὶ βασιλέα αὐτὸν κατονομάζειν
so-much be-brought so-that even emperor him to-name
ἤδη. οἱ δὲ αἵμασιν ἀνθρώπων λαφύξαι ἱμειρόμενοι καὶ
already they and with-blood of-men to-gulp longing and
κρεῶν ἀνθρωπείων ἐμφορηθῆναι καὶ λείαν πολλὴν ἐκ
with-flesh human to-be-filled and booty much from
τῆς ἡμεδαπῆς ἐπισυνάξαι, Πάτροκλον εὑρηκότες τοῦτον
the our-land to-collect a-Patroclus having-found this
πρόφασιν κατὰ τῆς Ῥωμαίων πανστρατιᾷ χωρῆσαι
pretext against the(-land) of-Romans with-all-their-army to-advance
ἐβουλεύοντο, ὡς δῆθεν τῷ πατρῴῳ τοῦτον ἐγκαθιδρῦσαι
planned as supposedly on-the paternal him to-seat
θρόνῳ. καὶ ἀπαιωρουμένην εἶχον τέως ταυτηνὶ τὴν
throne and in-suspense held for-the-time this-here the
βουλήν. οὐκ ἔλαθε ταῦτα τὸν αὐτοκράτορα. ἔνθεν τοι
plan not escaped these(-things) the autocrat whence surely
καὶ τὰς δυνάμεις ὡς δυνατὸν ἐξώπλιζέ τε καὶ πρὸς τὴν
also the forces as possible armed both and for the

τῶν βαρβάρων μάχην ἡτοιμάζετο. τὰ γὰρ τέμπη, ἅπερ
of-the barbarians battle prepared the for valleys which
κλεισούρας ἡ ἰδιῶτις οἶδε γλῶττα καλεῖν, ὡς ἔφαμεν,
passes the common knows tongue to-call as we-said
φθάσας ἤδη κατωχυρώσατο. καιροῦ δὲ παρεληλυθότος
having-been-first already he-fortified of-time and having-passed
ἐπεὶ τὸ Παρίστριον τοὺς Κομάνους μετὰ τοῦ ψευδωνύμου
since — Paristrion the Cumans with the falsely-named
καταλαβεῖν μεμαθήκοι, τοὺς τὰ πρῶτα τοῦ στρατιωτικοῦ
to-reach he-had-learned those the first-places of-the military
συντάγματος φέροντας καὶ αὐτοὺς δὴ τοὺς καθ᾽ αἷμα
body holding and themselves indeed those by blood
καὶ ἐξ ἀγχιστείας αὐτῷ προσήκοντας συναγαγών, εἰ
and from marriage to-him related having-gathered whether
χρὴ κατ᾽ αὐτῶν ἐξιέναι ἐβουλεύετο. πάντες δὲ πρὸς
it-is-needful against them to-go-out he-deliberated all and from
τοῦτο αὐτὸν ἀπεῖργον. τοίνυν αὐτὸς ἑαυτῷ πιστεύειν οὐκ
this him restrained therefore he himself to-trust not
εἶχεν οὔτε μὴν τοῖς οἰκείοις ἤθελε λογισμοῖς χρήσασθαι,
could nor indeed to-the own wished reasonings to-use
ἀλλὰ τὸ πᾶν τῷ Θεῷ ἀναθέμενος ἐξ ἐκείνου τὴν κρίσιν
but the whole — to-God having-entrusted from him the judgment
ᾐτεῖτο. τοιγαροῦν ἅπαντας μετακαλεσάμενος τοῦ ἱερατικοῦ
asked accordingly all having-summoned of-the priestly
καὶ στρατιωτικοῦ καταλόγου εἰς τὴν τοῦ Θεοῦ μεγάλην
and military roll into the — of-God great
ἐκκλησίαν ἑσπέρας φοιτᾷ καὶ αὐτοῦ δὴ τοῦ πατριάρχου
church in-the-evening goes and himself indeed the patriarch
Νικολάου παρόντος. ἔφθασε γὰρ εἰς τὸν πατριαρχικὸν
Nicholas being-present he-had-been-first for to the patriarchal
ἀναβεβηκέναι θρόνον ἐπινεμήσεως παριππευούσης ἑβδόμης
to-have-ascended throne (the)-indiction passing seventh

ἔτους ϛφϟβ΄ μετὰ τὴν Εὐστρατίου τοῦ Γαριδᾶ παραίτησιν.
of-the-year 6592 after the of-Eustratios the Garidas resignation
ἐν δυσὶ δὲ πυκτίοις τὴν ἐπερώτησιν περὶ τοῦ, εἰ δεῖ
on two and tablets the question about the whether it-is-necessary
ἐξελθεῖν τοῖς Κομάνοις ἐπιθέσθαι ἢ μή, ἐνσημηνάμενος
having-gone-out the Cumans to-attack or not having-sealed
τῷ κορυφαίῳ πάντων παρεκελεύσατο καταθέσθαι εἰς τὴν
to-the chief of-all he-ordered to-lay on the
ἱερὰν τράπεζαν. παννύχου δὲ τῆς ὑμνῳδίας τελουμένης
holy table all-night and the hymnody being-performed
κατὰ τὸ περίορθρον εἴσεισιν ὁ τεθεικὼς καὶ ἀναλαμβάνεται
at the early-dawn enters the having-placed and takes
τὸν χάρτην καὶ ἐξαγαγὼν καὶ λύσας ἐνώπιον
the paper and having-brought-out and having-opened in-the-presence
πάντων ὑπανεγίνωσκε. τὸ ἐνδόσιμον οὖν ἐκεῖθεν ὥσπερ ἐκ
of-all read-aloud the cue then from-there as-if from
θείας ὀμφῆς ὁ αὐτοκράτωρ λαβὼν ὅλος ἐγεγόνει τῆς
divine voice the autocrat having-received wholly became of-the
ἐκστρατείας καὶ διὰ γραφῶν ἁπανταχόθεν ἀνεκαλεῖτο
campaign and through letters from-everywhere recalled
τὸ στράτευμα. καλῶς τοίνυν παρασκευασάμενος τῆς κατὰ
the army well therefore having-prepared the against
τῶν Κομάνων ὁδοῦ εἶχετο. ἅπαν οὖν τὸ στράτευμα
the Cumans road held all then the army
μετακαλεσάμενος καὶ καταλαβὼν τὴν Ἀγχίαλον τὸν μὲν
having-summoned and having-reached — Anchialos the indeed
ἴδιον γαμβρὸν Καίσαρα Νικηφόρον τὸν Μελισσηνὸν καὶ τὸν
own brother-in-law Caesar Nikephoros the Melissenos and —
Παλαιολόγον Γεώργιον καὶ τὸν ἀδελφιδοῦν αὐτοῦ Ἰωάννην
Palaiologos George and the nephew his John
τὸν Ταρωνίτην μεταπεμψάμενος εἰς Βερόην ἐκπέμπει,
the Taronites having-summoned to Beroe sends-out

ἐφ᾽ ᾧ ἐπαγρυπνεῖν καὶ ἀσφάλειαν αὐτῆς τε καὶ τῶν
for which to-keep-watch and security of-it both and of-the
παρακειμένων αὐτῇ ποιεῖσθαι. τοὺς δέ γε λοιποὺς τῶν
neighboring to-it to-make the and at-least rest of-the
ἐκκρίτων διελὼν τὰ στρατεύματα καὶ ἡγεμόνας τούτων
picked-men having-divided the armies and as-leaders of-these
αὐτοὺς καταστήσας τὸν Δαβατηνόν, τὸν Εὐφορβηνὸν
themselves having-set — Dabatenos — Euphorbenos
Γεώργιον καὶ Κωνσταντῖνον τὸν Οὐμπερτόπουλον εἰς
George and Constantine the Houmbertopoulos for
φυλακὴν τῶν περὶ τὸν Ζυγὸν διακειμένων κλεισουρῶν
guard of-the about the Zygos lying passes
ἐκπέπομφεν. ἐκεῖθεν δὲ τὴν Χορταρέαν καταλαβών
sent-out from-there and — Chortarea having-reached
(κλείσουρα δὲ τοῦ Ζυγοῦ οὕτωσί πως ὀνομαζομένη) τὸν
a-pass and of-the Zygos thus somehow named the
ὅλον περιήει Ζυγὸν κατασκεπτόμενος, εἰ πάντα τὰ
whole went-round Zygos inspecting whether all the
πρώην παρ᾽ αὐτοῦ ἐντεταλμένα οἱ τὴν τούτων οἰκονομίαν
formerly by him enjoined those the of-these management
ἀναδεξάμενοι τετελέκασι καὶ εἴ τι ἡμιτελὲς ἢ ἐνδέον
having-undertaken have-completed and if anything half-finished or lacking
ἐστί, καὶ τοῦτο ἐπανορθώσασθαι, ὡς μὴ ῥᾳδίως διὰ
is also this to-set-right so-that not easily through
τούτων ἐξεῖναι τοῖς Κομάνοις διελθεῖν. πάντα γοῦν
these to-be-possible for-the Cumans to-pass-through all at-any-rate
οἰκονομήσας κᾆθ᾽ οὕτως ἐκεῖθεν ὑποστρέψας περὶ τὴν
having-arranged and-then thus from-there having-returned about the
Ἱερὰν καλουμένην Λίμνην τὸν χάρακα ἐπήξατο τῆς
Holy called Lake the palisade pitched —
Ἀγχιάλου ἀγχοῦ διακειμένην. νυκτὸς δὲ καταλαβόντος
of-Anchialos near lying at-night and having-arrived

Πουδίλου τινὸς ἐκκρίτου τῶν Βλάχων καὶ τὴν τῶν
Poudilos a-certain picked of-the Vlachs and the of-the
Κομάνων διὰ τοῦ Δανούβεως διαπεραίωσιν ἀπαγγείλαντος,
Cumans across the Danube crossing having-announced
δέον ἔκρινεν αὐγαζούσης τῆς ἡμέρας μετακαλεσάμενος τοὺς
needful he-judged dawning the day having-summoned the
ἐκκρίτους τῶν συγγενῶν τε καὶ ἡγεμόνων βουλεύσασθαι
picked of-the kinsmen both and leaders to-deliberate
ὅ τι δεῖ ποιεῖν. ἐπεὶ δὲ εἰς τὴν Ἀγχίαλον
what — it-is-necessary to-do since and to — Anchialos
πάντες παραγενέσθαι δεῖν ἔλεγον, παραχρῆμα τὸν
all to-come it-is-necessary said immediately —
μὲν Καντακουζηνὸν καὶ τὸν Τατίκιον εἰς τὰ καλούμενα
indeed Kantakouzenos and — Tatikios to the called
Θερμὰ ἐξαπέστειλε μετὰ καί τινων ἐθνικῶν, τοῦ τε
Therma sent-off with also some foreigners — both
Σκαλιαρίου τοῦ Ἐλχὰν καὶ ἑτέρων τῶν ἐκκρίτων, ἐφ'
of-Skaliarios — of-Elchan and others of-the picked for
ᾧ τὴν φυλακὴν τῶν ἐκεῖσε ποιεῖσθαι μερῶν. αὐτὸς
which the guard of-the there to-make parts he
δὲ ἀπέρχεται εἰς Ἀγχίαλον. ἐπεὶ δὲ πρὸς Ἀδριανούπολιν
and goes-away to Anchialos since and to Adrianople
τὸ ὅρμημα τῶν Κομάνων μεμαθήκοι, μεταπεμψάμενος
the onset of-the Cumans he-had-learned having-summoned
τοὺς ἐκκρίτους τῶν Ἀδριανουπολιτῶν ἅπαντας, ὧν
the picked of-the Adrianopolitans all of-whom
ὑπερέχοντες ὅ τε Κατακαλὼν ὁ Ταρχανειώτης λεγόμενος
surpassing — both Katakalon the Tarchaneiotes called
καὶ Νικηφόρος ὁ υἱὸς τοῦ πάλαι τυραννήσαντος Βρυεννίου,
and Nikephoros the son of-the long-ago having-usurped Bryennios
καὶ αὐτὸς τυραννήσας καὶ τῶν ὀφθαλμῶν στερηθείς,
and himself having-usurped and of-the eyes deprived

τούτοις πολλὴν τὴν τοῦ κάστρου φυλακὴν ἐνετείλατο
to-these much the of-the fortress guard he-enjoined
ποιεῖσθαι καὶ τῶν Κομάνων καταλαβόντων μὴ μετὰ
to-make and the Cumans having-arrived not with
μικροψυχίας τὸν μετ᾽ αὐτῶν συναίρειν πόλεμον, ἀλλὰ
faintheartedness the with them to-take-up war but
μετὰ σκοποῦ καὶ ἐκ διαστήματος τὰς κατ᾽ ἐκείνων βολὰς
with aim and from a-distance the against them shots
ποιεῖσθαι, τὰ δὲ πλεῖστα κεκλεισμένας τὰς πύλας ἔχειν,
to-make the and most shut the gates to-keep
πολλὰς ὑποσχόμενος εὐεργεσίας, εἰ τὰ προστεταγμένα
many having-promised benefactions if the(-things) ordered
τηρήσαιεν. ταῦτα μὲν οὖν πρὸς τὸν Βρυέννιον καὶ
they-should-keep these(-things) indeed then to — Bryennios and
τοὺς ἄλλους ὁ αὐτοκράτωρ παρεγγυησάμενος οἷον μετὰ
the others the autocrat having-charged as-it-were with
χρηστῶν τῶν ἐλπίδων πρὸς Ἀδριανούπολιν ἐκπέπομφε.
good the hopes to Adrianople sent-off
τῷ δέ γε Κατακαλὼν τῷ Εὐφορβηνῷ Κωνσταντίνῳ
— and at-least to-Katakalon the Euphorbenos Constantine
διὰ γραμμάτων προσέταξεν ἀναλαβέσθαι τὸν καλούμενον
through letters ordered to-take the called
Μοναστρᾶν (μιξοβάρβαρος δὲ οὗτος ἀνὴρ πολλὴν τὴν περὶ
Monastras a-half-barbarian and this-one a-man much the about
τὰ στρατιωτικὰ ἐμπειρίαν κεκτημένος) καὶ Μιχαὴλ τὸν
the military-affairs experience having-acquired and Michael the
Ἀνεμᾶν μετὰ τῶν ὑπ᾽ αὐτοὺς τεταγμένων στρατιωτῶν,
Anemas with the under them stationed soldiers
καὶ ἐπὰν τοὺς Κομάνους τὰς κλεισούρας διελθόντας
and when the Cumans the passes having-passed-through

μάθοιεν, παρέσπεσθαι ὄπισθεν αὐτῶν καὶ ἀξυμφανῶς
they-should-learn to-follow behind them and unseen
αὐτῶν ἀποπειρᾶσθαι.
them to-try

LVI · THE SIEGE OF ADRIANOPLE

The Vlachs show the Cumans the paths over the Zygos. Goloe and Dampolis surrender to the pretender. At Anchialos, Alexios holds his men between the sea and the vineyards, and after three days the Cumans turn to Adrianople, the pretender claiming Bryennios as his uncle. For forty-eight days they skirmish. Bryennios denies him from the walls; Nikephoros, son of Katakalon, kills a Scythian with his lance; and Marianos Maurokatakalon whips the impostor about the head.

Τῶν γοῦν Κομάνων παρὰ τῶν Βλάχων τὰς διὰ τῶν
the at-any-rate Cumans from the Vlachs the through the
κλεισουρῶν ἀτραποὺς μεμαθηκότων καὶ οὕτω τὸν Ζυγὸν
passes paths having-learned and thus the Zygos
ῥᾳδίως διεληλυθότων ἅμα τῷ τῇ Γολόῃ προσπελάσαι
easily having-passed-through as-soon-as the — Goloe to-approach
εὐθὺς οἱ ἔποικοι ταύτης δεσμήσαντες τὸν τὴν φυλακὴν
at-once the settlers of-it having-bound the(-one) the guard
τοῦ κάστρου πεπιστευμένον παραδεδώκασι τοῖς Κομάνοις,
of-the fortress entrusted handed-over to-the Cumans
αὐτοὶ δὲ εὐφημήσαντες ἄσμενοι τούτους ὑπεδέξαντο. ὁ δὲ
they and having-acclaimed gladly them received — and
Κατακαλὼν Κωνσταντῖνος ἐναύλους τὰς τοῦ βασιλέως
Katakalon Constantine ringing-in-his-ears the of-the emperor
ὑποθημοσύνας ἔχων Κομάνοις ἐντυχὼν εἰς προνομὴν
counsels having Cumans having-met for foraging
ἐξερχομένοις καὶ προσβαλὼν θαρσαλέως ζωγρίαν εὐθὺς ἐκ
going-out and having-attacked boldly alive at-once from

τούτων ἄγει εἰς ἑκατὸν ποσουμένους. τοῦτον ὁ βασιλεὺς
them leads to hundred numbering him the emperor
ὑποδεξάμενος εὐθὺς τῷ τοῦ νωβελλισίμου τιμᾷ ἀξιώματι.
having-received at-once with-the of-the nobelissimos honors rank
κατασχόντας δὲ τὴν Γολόην τοὺς Κομάνους θεασάμενοι
having-held and — Goloe the Cumans having-beheld
οἱ τῶν παρακειμένων πόλεων ἔποικοι, Δαμπόλεώς
the of-the neighboring cities settlers of-Dampolis
τε καὶ τῶν λοιπῶν, προσεληλυθότες αὐτοὺς ἄσμενοι
both and of-the rest having-come them gladly
ὑπεδέχοντο καὶ παρεδίδουν τὰς πόλεις ἐπευφήμουν τε
received and handed-over the cities acclaimed and
τὸν ψευδώνυμον Διογένην. ὃς μετὰ τὸ πάντων ἐγκρατὴς
the falsely-named Diogenes who after the of-all master
γενέσθαι ἀναλαβόμενος ἅπαν τὸ Κομανικὸν στράτευμα
to-become having-taken-up all the Cuman army
καταλαμβάνει τὴν Ἀγχίαλον ἀποπειρᾶσθαι τάχα βουλόμενος
reaches — Anchialos to-make-trial perhaps wishing
τῶν ταύτης τειχῶν. ὁ δὲ βασιλεὺς ἐντὸς ὢν καὶ πολλὴν
of-the its walls the and emperor inside being and much
ἐμπειρίαν περὶ τὰ στρατιωτικὰ ἐκ νηπίου κεκτημένος,
experience about the military-arts from infancy having-acquired
ἐπεὶ τὴν τοῦ τόπου θέσιν διέγνω τοὺς μὲν Κομάνους
since the of-the place position he-discerned the indeed Cumans
ἀπείργουσαν τῆς ὁρμῆς, ὀχύρωμα δὲ τοῦ τείχους οὖσαν,
keeping-off from-the onset a-stronghold and of-the wall being
διελὼν τὰς δυνάμεις καὶ τὰς πύλας ἀναπετάσας τοῦ
having-divided the forces and the gates having-thrown-open of-the
κάστρου ἔξωθεν τούτους συνησπικότας ἰλαδὸν κατέστησε,
fortress outside them locking-shields by-squadrons set
περὶ δὲ τὸ ἄκρον τῆς Κομανικῆς παρατάξεως ***
about and the tip of-the Cuman battle-line (lacuna)

ἐγκεκραγότος μέρους τῆς Ῥωμαϊκῆς φάλαγγος ***
having-shouted part of-the Roman phalanx (lacuna)
ἐτρέψαντο μέχρις αὐτῆς θαλάττης διώξαντες. τοῦτο ὁ
they-routed as-far-as itself sea having-pursued this the
αὐτοκράτωρ θεασάμενος καὶ πρὸς τοσαῦτα πλήθη μὴ
autocrat having-beheld and against so-great multitudes not
ἐξαρκούσας ἔχων δυνάμεις μήτε ἀντικαταστῆναι δυνάμενος
sufficing having forces nor to-stand-against being-able
ἐκέλευσε τοῦ λοιποῦ συνησπικότας ἅπαντας ἵστασθαι
ordered for-the rest locking-shields all to-stand
καὶ μηδένα προθέειν τῆς παρατάξεως. οἱ δὲ Κόμανοι
and no-one to-run-ahead of-the battle-line the and Cumans
παραταξάμενοι ἵσταντο καὶ αὐτοὶ προμετώπιοι τῆς
having-arrayed-themselves stood also they in-front-of the
Ῥωμαϊκῆς φάλαγγος, μὴ προσβάλλοντες δὲ ὅμως
Roman phalanx not attacking and nevertheless
μηδὲ αὐτοί. τοῦτο δὲ ἐτελεῖτο ἐπὶ τρισὶν ἡμέραις ἐκ
nor they this and was-performed for three days from
πρωΐας μέχρις ἑσπέρας, τῆς τε τοῦ τόπου θέσεως
morning until evening the both of-the place position
ἀπειργούσης τούτους ἐθέλοντας μάχεσθαι καὶ τοῦ μηδένα
preventing them wishing to-fight and the none
τῆς Ῥωμαϊκῆς φάλαγγος προεκτρέχειν κατ᾽ αὐτῶν.
of-the Roman phalanx to-run-out against them
τὸ δὲ κάστρον ἡ Ἀγχίαλος τοιαύτης ἔτυχε θέσεως.
the and fortress — Anchialos such got position
δεξιόθεν μὲν τὴν Ποντηρὰν εἶχε θάλασσαν, ἐξ εὐωνύμου
on-the-right indeed the Pontic had sea from left
δὲ τραχύν τινα τόπον καὶ δύσβατον καὶ ὑπάμπελον
and rough a-certain place and hard-to-pass and vine-planted
καὶ τοῖς ἱππόταις εὔοδον τὸν δρόμον μὴ παρέχοντα.
and to-the horsemen easy the course not providing

τί τὸ ἐπὶ τούτοις; τὴν τοῦ βασιλέως θεασάμενοι
what the(-thing) at these-things the of-the emperor having-beheld
καρτερίαν οἱ βάρβαροι καὶ τὰ βεβουλευμένα ἀπηλπικότες
steadfastness the barbarians and the plans having-despaired-of
ἐφ' ἑτέραν ἀτραπὸν τὴν πρὸς Ἀδριανούπολιν ἐτράποντο,
onto another path the toward Adrianople turned
ἐξαπατῶντος αὐτοὺς τοῦ ψευδωνύμου καὶ λέγοντος ὡς
deceiving them the falsely-named and saying that
"ὁπηνίκα με τὴν Ἀδριανούπολιν καταλαβόντα ὁ Βρυέννιος
when me — Adrianople having-reached — Bryennios
Νικηφόρος ἀκούσει, ἀνοίξας τὰς πύλας μετὰ περιχαρείας
Nikephoros will-hear having-opened the gates with joy
ὑποδέξεται χρήματά τε παρέξει καὶ παντοίας φιλοφροσύνης
he-will-receive money both will-provide and of-every-kind kindness
ἀξιώσειε. κἂν γὰρ μὴ ἐκ φύσεως, ἀλλά γε ἐκ
would-deem-worthy even-if for not from nature but at-least from
προαιρέσεως τὴν πρὸς τὸν ἐμὸν πατέρα ἀδελφικὴν ἔσχε
choice the toward the my father brotherly he-had
διάθεσιν. ἐπὰν δὲ τὸ κάστρον ἡμῖν παραδοθῇ, οὕτω
disposition when and the fortress to-us is-handed-over thus
τῆς ἐπὶ τὰ ἔμπροσθεν καὶ πρὸς τὴν βασιλεύουσαν
the on the(-things) forward and toward the reigning(-city)
φερούσης ἀψόμεθα." θεῖον δὲ τὸν Βρυέννιον ὠνόμαζε
leading(-road) we-shall-take uncle and — Bryennios he-named
παράκουσμά τι ἔχων ἀληθοῦς ὑποθέσεως. καὶ γὰρ ὁ
misheard-thing some having of-true matter and for the
πάλαι βεβασιλευκὼς Ῥωμανὸς ὁ Διογένης ἄνδρα τουτονὶ
long-ago having-reigned Romanos the Diogenes a-man this-here
τὸν Βρυέννιον γινώσκων φρονήσει τε ὑπερέχοντα ἁπάντων
— Bryennios knowing in-prudence both surpassing all
τῶν τότε εὐθῆ τε τὴν γνώμην καὶ ἐπαληθεύοντα ὡς
of-the then straight and in-the mind and truthful as

ἐπίπαν ἐν λόγοις καὶ πράξεσι τοῦτον ἀκριβῶς ἐπιστάμενος
on-the-whole in words and deeds him exactly knowing
ἀδελφὸν εἰσποιήσασθαι ἠβουλήθη. καὶ δὴ καὶ τὸ ἔργον
as-brother to-adopt wished and indeed also the deed
τετέλεστο ἀμφοῖν τούτου συνδόξαντος. ἀλλὰ ταῦτα
had-been-completed to-both this having-seemed-good but these(-things)
μὲν ἀληθῆ καὶ παρὰ πάντων οὕτω γινώσκεται, ὁ δέ
indeed true also by all thus is-known the and
γε ψευδώνυμος τοσοῦτον ἀπηναισχύντησεν, ὡς καὶ θεῖον
at-least falsely-named so-much became-shameless that even uncle
ἐπ᾽ ἀληθείας τοῦτον κατονομάζειν. οὕτω μὲν οὖν τὰ τοῦ
in truth him to-name thus indeed then the of-the
ψευδωνύμου τεχνάσματα· οἱ δὲ Κόμανοι ὡς βάρβαροι τὸ
falsely-named tricks the and Cumans as barbarians the
κοῦφον καὶ εὐμετάβλητον ὡς φυσικόν τι παρακολούθημα
light and changeable as natural some consequence
κεκτημένοι πείθονται τοῖς αὐτοῦ λόγοις καὶ καταλαβόντες
having-acquired are-persuaded by-the his words and having-reached
τὴν Ἀδριανούπολιν ἔξωθεν τῆς πόλεως ταύτης ηὐλίσαντο.
— *Adrianople outside the city this camped*
ἐπὶ δὲ τεσσαράκοντα καὶ ὀκτὼ ἡμέραις καθ᾽ ἑκάστην
for and forty and eight days by each(-day)
πολέμων συγκροτουμένων (καὶ γὰρ οἱ νεώτεροι καὶ πρὸς
wars being-fought and for the younger and for
πόλεμον σφαδάζοντες καθ᾽ ἡμέραν ἐξερχόμενοι πολέμους
war quivering by day going-out wars
συχνοὺς μετὰ τῶν βαρβάρων συνεκρότουν) Νικηφόρος ὁ
frequent with the barbarians fought Nikephoros the
Βρυέννιος, ἐπεὶ κάτωθεν παρὰ τοῦ ψευδωνύμου ἐζητεῖτο,
Bryennios since from-below by the falsely-named he-was-sought
πυργόθεν προκύψας, ὅσα γε ἀπὸ τῆς φωνῆς τοῦ
from-the-tower having-leaned-out as-much-as at-least from the voice of-the

ἀνδρὸς τεκμαιρόμενος ἔλεγε μήτε υἱὸν αὐτὸν ἐπιγινώσκειν
man judging said neither son him to-recognize
Ῥωμανοῦ τοῦ Διογένους, τοῦ ἐκ προαιρέσεως ἀδελφοῦ
of-Romanos the Diogenes the by choice brother
αὐτοῦ χρηματίσαντος, ὡς εἴρηται, ὁποῖα φιλεῖ πολλάκις
his having-been-styled as has-been-said such-as is-wont often
γίνεσθαι, καὶ ὅτι ὁ ἐπ᾽ ἀληθείᾳ υἱὸς αὐτοῦ εἰς Ἀντιόχειαν
to-happen and that the in truth son his at Antioch
ἀνῃρέθη. ταῦτα εἰπὼν μετ᾽ αἰσχύνης τὸν ὑποκριτὴν
was-killed these(-things) having-said with shame the pretender
ἀπεπέμψατο. ἐπεὶ δὲ οἱ ἐντὸς παρεκτεινομένου τοῦ
sent-away since and those inside being-prolonged the
καιροῦ ἐστενοῦντο ἤδη, διὰ γραφῆς ᾐτήσαντο βοήθειαν
πολέμου παλίνορσοι εἴσω τοῦ κάστρου γεγόνασιν ἐκθύμως
war turned-back inside the fortress they-became passionately
τῶν Νορμάνων ἀγωνισαμένων. καὶ ὡς τὴν λείαν ἅπασαν
the Normans having-contended and thus the booty all
ἀναλαβόμενοι κατέλαβον αὖθις τὴν Ἑλενούπολιν. λόγου δὲ
having-taken reached again — Helenoupolis word and
ἀναμεταξὺ αὐτῶν τε καὶ τῶν μὴ σὺν αὐτοῖς ἀπελθόντων
between them both and those not with them having-gone
κινηθέντος, ὁποῖα φιλεῖ ἐν τοῖς τοιούτοις γίνεσθαι, τοῦ
having-been-stirred such-as is-wont in the such-cases to-happen the
φθόνου τὸν θυμὸν ἀναφλέγοντος τῶν ἀπολειφθέντων
envy the anger inflaming of-those left-behind
κἀντεῦθεν ἀψιμαχίας ἀμφοῖν γενομένης οἱ τολμητίαι
and-thence skirmish between-both having-happened the daring
Νορμάνοι ἀποκριθέντες αὖθις τὴν Ξερίγορδον καταλαβόντες
Normans having-separated again — Xerigordos having-reached
ἐξ ἐφόδου κατέσχον. μαθὼν δὲ τὸ γεγονὸς ὁ σουλτὰν
by assault held having-learned and the event the sultan
κατ᾽ αὐτῶν μετὰ ἀποχρώσης δυνάμεως ἐκπέμπει τὸν
against them with sufficient force sends-out —
Ἐλχάνην. ὁ δὲ καταλαβὼν αἱρεῖ μὲν τὴν Ξερίγορδον,
Elchanes he and having-arrived takes indeed — Xerigordos
τῶν δέ γε Νορμάνων τοὺς μὲν ξιφῶν παρανάλωμα
of-the and at-least Normans some indeed of-swords a-casualty
ἐποιήσατο, τοὺς δὲ καὶ ζωγρίαν ἦγε μελετήσας ἅμα
made others and also alive led having-planned at-the-same-time
καὶ κατὰ τῶν συναπολειφθέντων τῷ Κουκουπέτρῳ. καὶ
also against those left-together — with-Koukoupetros and

λόχους μὲν ἐν ἐπικαίροις καταστήσας τόποις, ὡς ἂν
ambushes indeed in suitable having-set places so-that —
ἐν τῷ κατὰ τῆς Νικαίας ἀπιέναι τούτοις ἀπροόπτως
in the toward — Nicaea going on-them unforeseeably
ἐμπίπτοντες ἀναιρῶνται, γινώσκων δὲ καὶ τὸ τῶν
falling they-might-be-killed knowing and also the of-the
Κελτῶν ἐρασιχρήματον δύο τινὰς δραστηρίους τὴν γνώμην
Celts love-of-money two some energetic in-the mind
μεταπεμψάμενος ἐνετείλατο ἀπελθεῖν πρὸς τὸ στράτευμα
having-summoned enjoined to-go to the army
τοῦ Κουκουπέτρου διακηρυκεύοντας, ὡς οἱ Νορμάνοι
— of-Koukoupetros proclaiming that the Normans
κατασχόντες τὴν Νίκαιαν δασμὸν τῶν ἐνόντων ἐν
having-seized — Nicaea a-division of-the(-things) in in
αὐτῇ ποιοῦνται. αὕτη ἡ φήμη τοὺς μετὰ τοῦ Πέτρου
it make this the rumor those with — Peter
συνόντας καταλαβοῦσα δεινῶς συνετάραξε. δασμὸν γὰρ
being having-reached terribly confounded division for
καὶ χρήματα ἀκηκοότες παραχρῆμα τῆς πρὸς τὴν Νίκαιαν
and money having-heard immediately the to — Nicaea
φερούσης ὁδοῦ ἀσυντάκτως ἥψαντο ἐπιλαθόμενοι μονονοὺ
leading road in-disorder took having-forgotten almost
καὶ στρατιωτικῆς ἐμπειρίας καὶ τῆς τοῖς πρὸς μάχην
also military experience and the for-those to battle
ἀπιοῦσιν *** εὐταξίας. ἔστι μὲν γὰρ καὶ ἄλλως τὸ τῶν
going (lacuna) good-order is indeed for also otherwise the of-the
Λατίνων γένος φιλοχρηματώτατον, ὥσπερ ἄνωθεν εἴρηται,
Latins race most-money-loving as above has-been-said
ἐπὰν δὲ καὶ πρὸς καταδρομὴν χώρας ἀπονεύσειε, καὶ
when and also to raid of-land it-should-turn and
λόγῳ μὴ χρώμενον ἀχαλιναγώγητον. μὴ κατὰ στοίχους
with-reason not using unbridled not in rows

δὲ μήτε ἰλαδὸν πορευόμενοι τοῖς περὶ τὸν Δράκοντα
and nor by-squadrons marching to-the about the Drakon
λοχῶσι Τούρκοις περιπίπτοντες οἰκτρῶς ἀνῃροῦντο. καὶ
ambushing Turks falling-in pitiably were-killed and
τοσοῦτον πλῆθος Κελτῶν τε καὶ Νορμάνων ἔργον
so-great a-multitude of-Celts both and Normans a-work
μαχαίρας Ἰσμαηλιτικῆς ἐγεγόνει, ὥστε τὰ ἑκασταχοῦ
of-knife Ishmaelite became that the everywhere
κείμενα λείψανα τῶν ἀποσφαγέντων ἀνδρῶν συγκομίσαντες
lying remains of-the slaughtered men having-collected
μέγιστον οὐ λόφον φημὶ οὐδὲ βουνὸν οὐδὲ σκοπιὰν
very-great not a-mound I-mean nor hill nor peak
ἐποιήσαντο, ἀλλ᾽ οἷον ὄρος ὑψηλὸν καὶ βάθος καὶ
they-made but as-it-were a-mountain high and in-depth and
πλάτος ἀξιολογώτατον ἀπολαμβάνον· τοσοῦτος ἔκειτο ὁ
breadth most-remarkable taking-up so-great lay the
τῶν ὀστῶν κολωνός. καί τινες ὕστερον τῶν ἐκ τοῦ αὐτοῦ
of-the bones heap and some later of-those from the same
γένους τῶν ἀποσφαγέντων βαρβάρων ἐν σχήματι πόλεως
race of-the slaughtered barbarians in form of-a-city
οἰκοδομήσαντες τεῖχος μεσέμβολά τινα καθάπερ κάχληκας τὰ
having-built a-wall interstices some as-if pebbles the
ὀστᾶ τῶν ἀπολωλότων ἐνέθεντο τρόπον τινὰ τάφον αὐτοῖς
bones of-the perished put-in way a-certain a-tomb for-them
τὴν πόλιν ποιούμενοι. ἥτις καὶ εἰς τὴν τήμερον ἵσταται
the city making which also to the today stands
τετειχισμένη ὁμοῦ τε λίθοις καὶ ὀστοῖς ἀναμὶξ ἔχουσα
walled together both with-stones and bones mixed having
τὸν περίβολον. πάντων οὖν ξιφῶν παρανάλωμα γεγονότων
the circuit all then of-swords a-casualty having-become
μόνος ὁ Πέτρος μετ᾽ ὀλίγων τινῶν εἰς Ἑλενούπολιν αὖθις
alone — Peter with few some to Helenoupolis again

ὑποστρέψας εἰσῄει. οἱ δὲ Τοῦρκοι αὖθις τοῦτον ἐνήδρευον
having-returned entered the and Turks again him ambushed
ἑλεῖν ἐθέλοντες. ὁ δὲ αὐτοκράτωρ ἅπαντα ἀκηκοὼς καὶ τὴν
to-take wishing the and autocrat all having-heard and the
τοσαύτην ἀνδροκτασίαν βεβαιωθεὶς ἐν δεινῷ ἐποιεῖτο, εἰ
so-great slaughter having-been-assured in terror held-it if
καὶ ὁ Πέτρος ἁλῴη. παραχρῆμα τοίνυν μεταπεμψάμενος
even — Peter should-be-taken immediately therefore having-summoned
τὸν Κατακαλὼν Κωνσταντῖνον τὸν Εὐφορβηνόν, οὗ ὁ
— Katakalon Constantine the Euphorbenos of-whom the
λόγος ἐν πολλοῖς ἤδη ἐμνήσθη, ἀποχρώσας δυνάμεις ἐν
account in many-places already made-mention sufficient forces into
ναυσὶ πολεμικαῖς ἐμβαλὼν διαπόντιον εἰς ἀρωγὴν αὐτοῦ
ships warlike having-put by-sea for help his
πέπομφε. θεασάμενοι δὲ τοῦτον οἱ Τοῦρκοι καταλαβόντα
sent having-beheld and him the Turks arriving
φυγαδείᾳ ἐχρήσαντο. ὁ δὲ μηδὲ μικρὸν ἀναμείνας
flight used he and not-even a-little having-waited
ἀναλαβόμενος τὸν Πέτρον μετὰ τῶν σὺν αὐτῷ, ῥητοὶ
having-taken — Peter with those with him countable
γὰρ ἦσαν, διασῴζει πρὸς τὸν βασιλέα. τοῦ δὲ βασιλέως
for they-were brings-safely to the emperor the and emperor
ἀναμιμνήσκοντος αὐτὸν τῆς ἀρχῆθεν ἀβουλίας αὐτοῦ
reminding him of-the from-the-beginning folly his
καὶ ὅπως ταῖς αὐτοῦ ὑποθημοσύναις μὴ πειθόμενος
and how to-the his counsels not obeying
τοσούτοις ἐνεπεπτώκει δεινοῖς, ὁποῖα Λατῖνος ὑψαύχην οὐχὶ
into-so-many had-fallen terrors such-as a-Latin haughty not
ἑαυτὸν αἴτιον τοῦ τοσούτου κακοῦ ἔλεγεν, ἀλλ᾽ ἐκείνους
himself cause of-the so-great evil said but those
τοὺς μὴ αὐτῷ πειθομένους, ἀλλὰ τοῖς ἰδίοις θελήμασι
the not him obeying but the own wills

χρωμένους, λῃστὰς ἀποκαλῶν τούτους καὶ ἅρπαγας καὶ
using robbers calling them and plunderers and
μηδὲ παρὰ τοῦ σωτῆρος εἰς προσκύνησιν τοῦ ἁγίου
not-even by the savior to veneration of-the holy
τάφου διὰ ταῦτα δεκτούς. οἱ μὲν οὖν τῶν Λατίνων,
tomb because-of these(-things) accepted those indeed then of-the Latins
ὁποῖος ὁ Βαϊμοῦντος καὶ οἱ τούτου ὁμόφρονες, ἔρωτα
such-as — Bohemond and the his like-minded desire
τῆς τῶν Ῥωμαίων ἀρχῆς ἐκ μακροῦ ἔχοντες καὶ ταύτην
of-the of-the Romans rule from long having and it
ἑαυτοῖς περιποιήσασθαι βουλόμενοι, πρόφασιν τὴν τοῦ
for-themselves to-secure wishing a-pretext the —
Πέτρου διακηρύκευσιν εὑρηκότες, ὡς εἴρηται, τὴν τοιαύτην
of-Peter proclamation having-found as has-been-said the such
συγκίνησιν ἐποιήσαντο ἀπατήσαντες τοὺς ἀκεραιοτέρους
commotion made having-deceived the more-simple
καὶ σχηματιζόμενοι κατὰ τῶν Τούρκων ἀπέρχεσθαι εἰς
and pretending against the Turks to-go for
ἐκδίκησιν τοῦ ἁγίου τάφου τὰς ἰδίας ἐπίπρασκον χώρας.
vengeance of-the holy tomb the own sold lands

LX · HUGH OF VERMANDOIS

Hugh, brother of the king of France, calls himself the king of kings. Shipwrecked near Palous, he is held by John, duke of Dyrrachion, and brought to Constantinople, where Alexios wins him with gifts and he swears the Latin oath.

Οὖβος δέ τις ὁ τοῦ ῥηγὸς Φραγγίας ἀδελφὸς φυσῶν
Hugh and a-certain the of-the king of-France brother breathing
τὰ Ναυάτου ἐπ᾽ εὐγενείᾳ καὶ πλούτῳ καὶ δυνάμει
the(-things) of-Novatus for nobility and wealth and power

τῆς ἐνεγκαμένης μέλλων ἐξελθεῖν τάχα ὡς πρὸς τὸν
of-the land-that-bore-him being-about to-go-out perhaps as to the
ἅγιον τάφον ἀποστείλας ἀπονοίας ῥήματα ἐμήνυσε πρὸς
holy tomb having-sent of-madness words sent-word to
τὸν αὐτοκράτορα προμηθευόμενος λαμπρὰν τὴν ὑπαντὴν
the autocrat providing brilliant the meeting
αὐτῷ γενέσθαι "ἴσθι" λέγων "ὦ βασιλεῦ, ὡς ἐγὼ ὁ
for-him to-happen know saying O emperor that I the
βασιλεὺς τῶν βασιλέων καὶ ὁ μείζων τῶν ὑπ' οὐρανόν·
king of-the kings and the greater of-those under heaven
καὶ καταλαμβάνοντά με ἤδη ἐνδέχεται ὑπαντῆσαί τε καὶ
and arriving me already it-is-fitting to-meet both and
δέξασθαι μεγαλοπρεπῶς καὶ ἀξίως τῆς ἐμῆς εὐγενείας".
to-receive magnificently and worthily of-the my nobility
ταῦτα ὁ βασιλεὺς ἀκούσας, ἐπεὶ δοὺξ μὲν ἔτυχε
these(-things) the emperor having-heard since duke indeed happened-to-be
Δυρραχίου Ἰωάννης ὁ υἱὸς Ἰσαακίου τοῦ σεβαστοκράτορος,
of-Dyrrachion John the son of-Isaac the sebastokrator
περὶ οὗ ἄνωθεν εἴρηται, τοῦ δὲ στόλου Νικόλαος ὁ
about whom above has-been-said of-the and fleet Nicholas the
Μαυροκατακαλὼν περὶ τὸν λιμένα τοῦ Δυρραχίου ἐκ
Maurokatakalon about the harbor — of-Dyrrachion at
διαστημάτων ἐνορμίσας τὰς ναῦς κἀκεῖθεν αὖθις τὰς
intervals having-moored the ships and-from-there again the
ἐκδρομὰς ποιούμενος καὶ τὰ πελάγη περισκοπῶν, ὡς μὴ
raids making and the seas surveying so-that not
λάθοιεν αὐτὸν λῃστρικαὶ νῆες παραπλεύσασαι, ὁ
should-escape-notice-of him pirate ships having-sailed-past the
αὐτοκράτωρ εὐθὺς γράμματα πρὸς ἀμφοτέρους ἐκπέμπει
autocrat at-once letters to both sends-out
ἐντειλάμενος τὸν μὲν δοῦκα Δυρραχίου διὰ τῆς ἠπείρου καὶ
having-enjoined the indeed duke of-Dyrrachion by the mainland and

τῆς παραλίας ἐφεδρεύειν τὴν τούτου ἔλευσιν καὶ παραυτίκα
the coast to-watch-for the his coming and immediately
τῷ αὐτοκράτορι ταχεῖαν τῆς τούτου ἐλεύσεως δοῦναι
to-the autocrat quick of-the his coming to-give
γνῶσιν, αὐτὸν δὲ τὸν Οὗβον ὑποδέξασθαι μεγαλοπρεπῶς,
knowledge him and — Hugh to-receive magnificently
τὸν δὲ δοῦκα τοῦ στόλου παρακελεύσασθαι μηδαμῶς
the and duke of-the fleet to-order in-no-way
ἀναπεπτωκέναι μηδὲ καταρρᾳθυμεῖν, ἀλλ' ἐγρηγορέναι
to-slacken nor to-be-careless but to-be-awake
διὰ παντός. κατὰ τὴν παραλίαν δὲ τῆς Λογγιβαρδίας ὁ
through all on the coast and — of-Lombardy —
Οὗβος διασωθεὶς πρέσβεις τηνικαῦτα ἐκπέμπει πρὸς τὸν
Hugh having-come-safely envoys then sends to the
δοῦκα Δυρραχίου εἴκοσι πρὸς τοῖς τέσσαρσι τὸν ἀριθμόν,
duke of-Dyrrachion twenty besides the four the number
θώραξι χρυσέοις σὺν αὐταῖς κνημῖσι περιπεφραγμένους,
with-breastplates golden with the-very greaves fenced
μετὰ τοῦ κόμητος Τζερπεντηρίου καὶ Ἠλία τοῦ ἐκ
with the count Tzerpenterios and Elias the from
Θεσσαλονίκης ἀποδράσαντος ἀπὸ τοῦ αὐτοκράτορος. οἱ
Thessalonike having-run-away from the autocrat they
δὲ πρὸς τὸν δοῦκα τοιαῦτα ἔλεγον "γνωστὸν ἔστω σοι,
and to the duke such-things said known let-it-be to-you
δούξ, ὅτι ὁ κύριος ἡμῶν Οὗβος ὅσον ἤδη καταλαμβάνει
duke that the lord our Hugh all-but already arrives
ἀναλαβόμενος ἀπὸ Ῥώμης τὴν χρυσῆν τοῦ ἁγίου Πέτρου
having-taken from Rome the golden of-the holy Peter
σημαίαν. ἀρχηγὸν δὲ τοῦτον ἐπίστασο τοῦ Φραγγικοῦ
standard leader and him know of-the Frankish
στρατεύματος ἅπαντος. ἑτοιμάσθητι γοῦν πρὸς τὴν
army all prepare at-any-rate for the

τούτου καὶ τῶν ὑπ᾽ αὐτὸν δυνάμεων δοχὴν ἀξίαν τῆς
his and of-the under him forces reception worthy of-the
αὐτοῦ ἐξουσίας καὶ τὴν πρὸς αὐτὸν ὑπαντὴν ποιησόμενος.”
his authority and the to him meeting going-to-make
τούτων τοιαῦτα πρὸς τὸν δοῦκα λεγόντων ὁ Οὖβος διὰ
them such-things to the duke saying — Hugh through
τῆς Ῥώμης εἰς Λογγιβαρδίαν, ὡς εἴρηται, κατελθὼν καὶ
— Rome to Lombardy as has-been-said having-come-down and
διὰ τῆς Βάρεως ὡς πρὸς τὸ Ἰλλυρικὸν τὸν ἀπόπλουν
through — Bari as to — Illyricum the sailing
ποιούμενος κλύδωνι μεγίστῳ περιπεσὼν ἀπώλεσε τὰ πλείω
making into-a-surge very-great having-fallen lost the most
τῶν αὐτοῦ πλοίων σὺν αὐτοῖς ἐρέταις καὶ ἐπιβάταις,
of-the his boats with the-very rowers and marines
ἑνὸς μόνου σκάφους, ἐν ᾧ αὐτὸς ἔτυχε, κατὰ τὴν
one only skiff in which he happened-to-be on the
μεσαίχμιον παραλίαν τοῦ τε Δυρραχίου καὶ τόπου τινὸς
between coast — both of-Dyrrachion and place a-certain
καλουμένου Πάλους ἀποπτυσθέντος οἷον παρὰ τῶν
called Palous having-been-spat-out as-it-were by the
κυμάτων καὶ αὐτοῦ ἡμιθραύστου. παραδόξως δὲ τούτῳ
waves and it half-shattered unexpectedly and him
σωθέντι περιτυχόντες δύο τινὲς τῶν περισκοπούντων τὴν
saved having-met two some of-those watching-for the
τούτου ἔλευσιν μετεκαλοῦντο αὐτὸν λέγοντες ὡς “ὁ δοὺξ
his coming summoned him saying that the duke
ἀπεκδέχεταί σου τὴν ἄφιξιν ἐπιποθῶν σε θεάσασθαι”. ὁ δ᾽
awaits your the arrival longing you to-see he and
εὐθὺς ἵππον ἐζήτει. ἄτερος δὲ τούτων ἀποβὰς τοῦ
at-once a-horse sought the-other and of-these having-dismounted from-the
ἵππου τοῦτον αὐτῷ μάλα προθύμως δίδωσιν. οὕτω γοῦν
horse it to-him very eagerly gives thus at-any-rate

τοῦτον ὁ δοὺξ σωθέντα θεασάμενος καὶ προσηγορίας
him the duke saved having-beheld and of-greeting
ἀξιώσας, ὅπη τε καὶ ὅθεν ἐπερωτήσας καὶ ὅπως
having-deemed-worthy where both and whence having-asked and how
αὐτῷ διαπλῳζομένῳ τὰ δεινὰ ξυμβέβηκε μαθὼν καὶ
to-him sailing the terrible-things befell having-learned and
ἐπανακτησάμενος χρησταῖς ὑποσχέσεσι τράπεζαν αὐτῷ
having-recovered with-good promises a-table to-him
δαψιλῆ τοῦ λοιποῦ παρατίθησιν. μετὰ δὲ τὴν εὐωχίαν
abundant for-the rest sets-before after and the feasting
ἄνετον μὲν οὔκ, ἐλεύθερον δὲ παντελῶς εἶχε. ταχὺ δὲ τῷ
at-liberty indeed not free and entirely he-held quickly and to-the
αὐτοκράτορι τὰ κατ᾽ αὐτὸν δηλώσας ἐκαρτέρει
autocrat the(-affairs) concerning him having-made-known awaited
τὸ ποιητέον ἐκεῖθεν δέξασθαι. ἅπαντα δὲ μεμαθηκὼς
the(-thing) to-be-done from-there to-receive all and having-learned
ὁ αὐτοκράτωρ ὀξέως τὸν Βουτουμίτην πέμπει πρὸς τὴν
the autocrat swiftly — Boutoumites sends to —
Ἐπίδαμνον, ἣν πολλάκις Δυρράχιον κατωνομάσαμεν, ἐφ᾽
Epidamnos which often Dyrrachion we-have-named for
ᾧ τὸν Οὖβον ἀναλαβέσθαι καὶ μὴ τὴν εὐθεῖαν βαδίσαι, ἀλλὰ
which — Hugh to-take and not the straight to-go but
παρεκκλῖναι καὶ διὰ τῆς Φιλιππουπόλεως αὐτὸν ἀγαγεῖν εἰς
to-turn-aside and through — Philippopolis him to-bring to
τὴν μεγαλόπολιν. ἐδεδίει γὰρ τὰ ὄπισθεν ἐρχόμενα Κελτικὰ
the great-city he-feared for the behind coming Celtic
πλήθη καὶ στρατεύματα. δεξάμενος δὲ τοῦτον ὁ βασιλεὺς
multitudes and armies having-received and him the emperor
ἐντίμως καὶ παντοίας φιλοφροσύνης ἀξιώσας χρήματά
honorably and of-every-kind kindness having-deemed-worthy money

τε ἱκανὰ ἐπιδοὺς πείθει παραχρῆμα ἄνθρωπον αὐτοῦ
and considerable having-given persuades immediately man his
γενέσθαι τὸν τοῖς Λατίνοις συνήθη ὅρκον ἐπομοσάμενον.
to-become the for-the Latins customary oath having-sworn

LXI · THE PRIEST AT SEA

Bohemond crosses to Kabalion. The count of Prebentza hires a pirate ship to avoid the Roman fleet, but Nicholas Maurokatakalon intercepts him by night. Anna describes the crossbow, the tzangra, whose bolts pierce shield, breastplate, and even a bronze statue. Marianos attacks the ship at its prow, and a Latin priest fights him from evening to the next midday with arrows, stones, and finally barley-cakes. Anna contrasts Latin priests, who fight, with the Roman canons. Then the count surrenders, and the priest dies giving Marianos a silver cup.

Ἀλλὰ ταῦτα μὲν τὰ κατὰ τὸν Οὖβον ἐκ
but these(-things) indeed the(-affairs) concerning — Hugh from
προοιμίων· ὁ δέ γε Βαϊμοῦντος, οὗ ἄνωθεν ὁ λόγος
the-outset — and at-least Bohemond of-whom above the account
πολλάκις ἐμνήσθη, πεντεκαίδεκα ἡμερῶν οὔπω διελθουσῶν
many-times made-mention fifteen days not-yet having-passed
διεπέρασεν εἰς τὴν ἀκτὴν τοῦ Καβαλίωνος μετὰ κομήτων
crossed to the coast — of-Kabalion with counts
διαφόρων καὶ στρατεύματος ἀριθμὸν ὑπερβαίνοντος ἅπαντα.
various and army number exceeding all
τόπος δὲ οὗτος ἐγγὺς τῆς Βοούσης· ὀνόματα δὲ ταῦτα
place and this near — Boousa names and these
τῶν ἐν τοῖς μέρεσιν ἐκείνοις τόπων. καὶ μεμφέσθω
of-the in the parts those places and let-blame
μηδεὶς ἡμῖν τοιούτοις χρωμένοις ὀνόμασι βαρβαρικοῖς καὶ
no-one us such using names barbarian and

ἀφ' ὧν ἔστι τὸ ὕφος τῆς ἱστορίας καταμιαίνεσθαι·
from which it-is-possible the texture of-the history to-be-defiled
οὐδὲ γὰρ οὐδ' Ὅμηρος ἀπηξίωσε Βοιωτοὺς ὀνομάζειν
not for even Homer disdained Boeotians to-name
καί τινας βαρβαρώδεις νήσους διὰ τὴν τῆς ἱστορίας
and some barbarous islands because-of the of-the history
ἀκρίβειαν. κατὰ πόδας δὲ τούτου καὶ ὁ κόμης Πρεβέντζας
exactness at heels and of-him also the count of-Prebentza
ταῖς ἀκταῖς τοῦ πορθμοῦ Λογγιβαρδίας προσπελάσας,
the shores of-the strait of-Lombardy having-approached
ἐπεὶ διαπερᾶν καὶ αὐτὸς ἐβούλετο, μυριοφόρον ναῦν
since to-cross also he wished a-ten-thousand-bearing ship
λῃστρικὴν μισθωσάμενος τριάρμενον ἑξακισχιλίων χρυσίνων
pirate having-hired three-masted of-six-thousand gold
στατήρων, ἐν ᾗ ἐρέται μὲν διακόσιοι, ἐφόλκια δὲ
staters in which rowers indeed two-hundred tow-boats and
τὰ συνεφεπόμενα ταύτῃ τρία. τὸν ἀπόπλουν οὐ πρὸς
the following it three the sailing not toward
τὰ μέρη τοῦ Αὐλῶνος ἐπεποίητο καθὼς τὰ λοιπὰ τῶν
the parts — of-Avlona had-made as the rest of-the
Λατίνων στρατεύματα, ἀλλὰ τὸν Ῥωμαϊκὸν ὑφορώμενος
Latin armies but the Roman suspecting
στόλον λύσας τὰ πρυμνήσια μικρὸν παρεκκλίνας κατευθὺ
fleet having-loosed the stern-cables a-little having-swerved straight-for
Χιμάρας τὸν ἀπόπλουν ἐποιεῖτο οὐρίου τυχὼν πνεύματος.
Chimara the sailing made fair having-got wind
φεύγων δὲ τὸν καπνὸν εἰς πῦρ ἐπεπτώκει. καὶ γὰρ
fleeing and the smoke into fire had-fallen and for
οὐχὶ τοῖς σποράδην ἐνεδρεύουσι τὸν τῆς Λογγιβαρδίας
not with-the scattered lying-in-wait-for the — of-Lombardy
πορθμὸν ναυτικοῖς περιέτυχεν, ἀλλ' αὐτῷ τῷ δουκὶ τοῦ
strait naval-craft he-met but himself the duke of-the

ὅλου Ῥωμαϊκοῦ στόλου Νικολάῳ τῷ Μαυροκατακαλών. ὃς
whole Roman fleet Nicholas the Maurokatakalon who
πόρρω περὶ τῆς λῃστρικῆς ἐκείνης νηὸς μεμαθηκώς, τὰς
far-off about the pirate that ship having-learned the
τοῦ ὅλου στόλου διήρεις καὶ τριήρεις καί τινας δρομάδας
of-the whole fleet biremes and triremes and some swift
ἀναλαβόμενος ναῦς ἀπελθὼν ἵστατο εἰς Καβαλίωνα
having-taken ships having-gone stood at Kabalion
ἀντικρὺ τοῦ Ἄσωνος, ἐξ οὗπερ ἐξεληλύθει τὸν μέγαν
opposite — of-Ason from which he-had-gone-out the great
ἐκεῖσε στόλον καταλιπών, καὶ ἀπέστειλε τὸν καλούμενον
there fleet having-left and sent the called
δεύτερον κόμητα μετὰ τοῦ ἰδίου κατέργου ἐξκουσσάτου
second count with the own galley exkoussaton
παρὰ τοῖς ναυτικοῖς καλουμένου ἐπισκήψας αὐτῷ, ἵν᾽
among the sailors called having-enjoined him that
ὁπηνίκα τὰ πρυμνήσια τῆς ἤδη ῥηθείσης νηὸς οἱ ἐρέται
when the stern-cables of-the already mentioned ship the rowers
λύσαντες εἰς κῦμα θαλάσσης ἐμβάλωσι, πυρσὸν ἀνάψῃ.
having-loosed into wave of-sea should-put a-beacon he-should-light
ὁ δὲ ἀπελθὼν παραχρῆμα τὸ κελευσθὲν ἐποίει. ὁ δὲ
he and having-gone at-once the(-thing) ordered did the and
δοὺξ Νικόλαος τοῦτο θεασάμενος τὰς μὲν τῶν νηῶν τοῖς
duke Nicholas this having-seen the indeed of-the ships with-the
ἱστίοις παραχρῆμα ἐπτέρου, τὰς δὲ καὶ οἷον πολύποδας
sails at-once winged the and also as-it-were many-footed
ταῖς κώπαις ἀπεργασάμενος κατὰ τοῦ διαπερῶντος
with-the oars having-made against the crossing
χωρεῖ κόμητος. οὔπω δὲ τρεῖς σταδίους ἀπὸ τῆς χέρσου
advances count not-yet and three stades from the dry-land
διαπλῳσάμενον καταλαμβάνει τοῦτον πρὸς τὴν περαίαν
having-sailed overtakes him toward the far-shore

Ἐπιδάμνου σπεύδοντα, ἐνόπλους μὲν στρατιώτας ἔχοντα
of-Epidamnos hastening armed indeed soldiers having
χιλίους πρὸς τοῖς πεντακοσίοις, ἵππους δὲ τῶν ἐκκρίτων
thousand besides the five-hundred horses and of-the picked
ὀγδοήκοντα. ὃν θεασάμενος ὁ πηδαλιοῦχος τῆς νεώς
eighty whom having-beheld the helmsman of-the ship
φησι πρὸς τὸν κόμητα Πρεβέντζας· "ἐκ Συρίας ὁ ἤδη
says to the count of-Prebentza from Syria the already
καταλαμβάνων ἡμᾶς στόλος ἐστὶ καὶ κίνδυνος μαχαίρας
overtaking us fleet is and danger of-knife
καὶ ξιφῶν παρανάλωμα γενέσθαι." παραχρῆμα γοῦν
and of-swords a-casualty to-become immediately at-any-rate
ὁ κόμης θωρήξασθαί τε ἐκέλευεν ἅπαντας καὶ καρτερῶς
the count to-arm both ordered all and strongly
μάχεσθαι. κἂν δὲ μέσος χειμὼν ἦν, ὁπότε ἡ μνήμη τοῦ
to-fight even-if and mid winter it-was when the memorial of-the
ἐν ἱεράρχαις μεγίστου Νικολάου τελεῖται, ἀλλ' ὅμως
among hierarchs greatest Nicholas is-celebrated but nevertheless
νηνεμία ἔτυχε παντελὴς καὶ ἡ νὺξ πανσέληνος φαίνουσα
calm happened complete and the night full-moon shining
τότε μᾶλλον ἢ ἐν ἔαρι. πεπαυμένων δὲ παντάπασι
then more than in spring having-ceased and entirely
τῶν ἀνέμων οὐκέτι ἡ λῃστρικὴ ναῦς κινεῖσθαι πρὸς
the winds no-longer the pirate ship to-move with
ἰσχύος εἶχε καὶ συνέβαινε ταύτην ἀτρεμεῖν ἐν τοῖς ὕδασιν.
strength could and it-happened it to-be-still in the waters
ἀλλ' ἐνταυθοῖ τοῦ λόγου γενομένη βουλοίμην ἂν τὴν
but here in-the account having-come I-would-wish — the
γλῶτταν ἐπαφεῖναι τοῖς τοῦ Μαριανοῦ κατορθώμασιν.
tongue to-let-loose on-the — of-Marianos exploits
ὃς παραχρῆμα παρὰ τοῦ δουκὸς τοῦ στόλου καὶ ἰδίου
who immediately from the duke of-the fleet and own

πατρὸς τὰ κουφότερα τῶν πλοίων αἰτήσας κατευθὺ τῆς
father the lighter of-the boats having-asked straight-for the
νεὼς ἐκείνης ἴεται καὶ τῇ πρώρᾳ συνεισπεσὼν ταύτης
ship that rushes and the prow having-fallen-upon of-it
ἀπεπειρᾶτο. συνέρρεον δὲ παραχρῆμα ἐκεῖσε οἱ ἔνοπλοι
he-tried flowed-together and immediately there the armed
καρτερῶς τοῦτον ἐξωπλισμένον πρὸς μάχην θεασάμενοι.
strongly him equipped for battle having-beheld
ὁ δὲ Μαριανὸς τοῖς Λατίνοις τῇ ἐκείνων ἀποχρώμενος
— and Marianos to-the Latins the their using
διαλέκτῳ παρεκελεύετο μὴ δεδιέναι μηδὲ μάχεσθαι πρὸς
tongue exhorted not to-fear nor to-fight against
ὁμοπίστους. βάλλει δέ τις τοῦτον τῶν Λατίνων διὰ τῆς
co-religionists strikes and someone him of-the Latins with the
τζάγγρας κατὰ τῆς κόρυθος. ἡ δὲ τζάγγρα τόξον μέν ἐστι
tzangra on the helmet the and tzangra a-bow indeed is
βαρβαρικὸν καὶ Ἕλλησι παντελῶς ἀγνοούμενον· τείνεται
barbarian and to-Greeks entirely unknown is-stretched
δὲ οὐχὶ τῆς μὲν δεξιᾶς ἑλκούσης τὴν νευράν, τῆς δὲ λαιᾶς
and not the indeed right drawing the string the and left
ἀνθελκούσης τὸ τόξον, ἀλλὰ δεῖ τὸν διατείνοντα
drawing-back the bow but it-is-necessary the(-one) stretching
τὸ ὄργανον τουτὶ τὸ πολεμικὸν καὶ ἐκηβολώτατον, ὡς
the instrument this-here the warlike and most-far-shooting as
ἄν τις εἴποι, ὕπτιον κείμενον ἑκάτερον μὲν τῶν ποδῶν
— anyone might-say on-his-back lying each indeed of-the feet
ἐνερεῖσαι τοῖς ἡμικυκλίοις τοῦ τόξου, ἀμφοτέραις δὲ ταῖς
to-press-against the semicircles of-the bow with-both and the
χερσὶ τὴν νευρὰν μάλα γενναίως ἀνθελκύσαι. ἧς κατὰ
hands the string very nobly to-draw-back of-which at
τὸ μέσον σωλήν ἐστι κυλινδρικὸν ἡμίτομον ἐξημμένον
the middle a-groove is cylindrical half-cut fastened

αὐτῆς τῆς νευρᾶς καὶ ὥσπερ τι βέλος ἀξιόλογον μέγεθος
to-itself the string and like some arrow considerable size
ἀπολαμβάνον διήκει ἀπ᾽ αὐτῆς τῆς νευρᾶς ἐς τὸ τοῦ
taking extends from itself the string to the of-the
τόξου μεσαίτατον· ἀφ᾽ οὗ βέλη παντοδαπὰ διεκπίπτουσιν.
bow very-middle from which missiles of-all-kinds shoot-out
ἐν τούτῳ τοίνυν τὰ βέλη τιθέμενα βραχύτατα μὲν τῷ
in this therefore the missiles placed very-short indeed in-the
μήκει, παχύτατα δὲ καὶ πρόσθεν ἀξιόμαχον βάρος
length very-thick and also in-front a-match-for-battle weight
σιδήρου λαμβάνοντα. καὶ τῇ ἀφέσει τῆς νευρᾶς μετὰ
of-iron taking and at-the release of-the string with
σφοδρότητος καὶ ῥύμης ἁπάσης ἀφιείσης τὰ βέλεμνα οὗ
violence and impetus all releasing the darts whatever
ἂν τύχῃ ἐπεισπεσόντα οὐκ εἰς τοὔμπαλιν ἀποπίπτει,
— it-should-chance having-fallen-upon not to the-opposite falls-back
ἀλλὰ καὶ ἀσπίδα διέτρησε καὶ θώρακα βαρυσίδηρον
but also a-shield pierced and a-breastplate heavy-iron
διατεμόντα ἐκεῖθεν διὰ θατέρου μέρους ἐξεπετάσθη. οὕτως
having-cut-through from-there through the-other side flew-out so
ἐστὶ σφοδρὰ καὶ ἀκατάσχετος ἡ ἄφεσις τῶν τοιούτων
is violent and irresistible the release of-the such
βελῶν. ἤδη τοῦτο τὸ βέλος καὶ ἀνδριάντα διεπερόνησε
missiles already this the missile also a-statue pierced
χαλκοῦν καὶ τείχει ἐμπεπτωκὸς μεγίστης πόλεως ἢ
bronze and on-a-wall having-fallen of-a-very-great city either
ἐπὶ τἄνδον προὔκυψε τοῦ βέλους ἡ ἀκμὴ ἢ ἐνδεδυκὸς
to the-inside peeped-out of-the missile the point or having-sunk
κατὰ τὸ μέσον τοῦ τείχους ἀφανὲς γέγονε. τὸ μὲν οὖν
in the middle of-the wall invisible became the indeed then
τῆς τζάγγρας πρᾶγμα τοιοῦτόν ἐστιν ὡς ὄντως δαιμόνιον·
of-the tzangra thing such is as truly devilish

ὁ δὲ πειρασθεὶς τῆς ἐκ τούτου πληγῆς ἀθλιώτατος
the(-one) and having-experienced of-the from it blow most-wretched
ἀναισθήτως ἀποθνήσκων καὶ μηδὲ τῆς πληγῆς, ὁπόση τίς
senselessly dying and not-even of-the blow how-great —
ἐστιν, αἰσθανόμενος. τὸ μὲν οὖν ἀπὸ τῆς τζάγγρας βέλος
it-is perceiving the indeed then from the tzangra missile
ἐμπεσὸν τῷ ἄκρῳ τῆς κόρυθος διήλασεν αὐτὴν ἀποπτὰν
having-fallen on-the tip of-the helmet drove-through it having-flown-off
οὐδ' ἄχρι τριχὸς τοῦ Μαριανοῦ ἐφαψάμενον· πρόνοια γὰρ
not-even as-far-as a-hair — of-Marianos touching providence for
ἀπεῖρξεν. ὁ δὲ γοργῶς ἄλλον κατὰ τοῦ κόμητος ἐπαφεὶς
prevented he and swiftly another against the count having-let-loose
ὀϊστὸν πλήττει τοῦτον κατὰ τοῦ βραχίονος· ὃς τὴν
arrow strikes him on the arm which the
ἀσπίδα διατρήσας τόν τε φολιδωτὸν διεληλυθὼς θώρακα
shield having-pierced the both scaled having-gone-through breastplate
καὶ αὐτῆς ἥψατο τῆς πλευρᾶς. ἱερεὺς δέ τις Λατῖνος
also itself touched the side a-priest and a-certain Latin
τρισκαιδέκατος τυγχάνων τῶν σὺν αὐτῷ μαχομένων τοῦτο
thirteenth being of-those with him fighting this
θεασάμενος πρυμνόθεν ἱστάμενος πολλὰς βολίδας κατὰ
having-beheld from-the-stern standing many javelins against
τοῦ Μαριανοῦ ἐξέπεμψεν. ἀλλ' οὐδ' ὁ Μαριανὸς ἐνεδίδου
— Marianos sent-out but nor — Marianos yielded
αὐτός τε ἐκθύμως μαχόμενος καὶ τοῖς ὑπ' αὐτὸν τοῦτο
he both passionately fighting and to-those under him this
παρακελευόμενος, ὡς τρισσάκις τοὺς μετὰ τοῦ Λατίνου
exhorting so-that thrice those with the Latin
ἱερέως ὑπαλλαχθῆναι τιτρωσκομένους τε καὶ κοπιῶντας.
priest to-be-relieved wounded both and toiling
καὶ αὐτὸς δὲ ὁ ἱερεύς, κἂν πολλὰς τὰς πληγὰς δεδεγμένος
and himself too the priest even-if many the blows having-received

ἦν καὶ τῷ ἰδίῳ αἵματι περιρρεόμενος, ἀλλ᾽ ὅμως
he-was and in-the own blood streaming but nevertheless
ἄτρεστος ἦν. οὐ γὰρ κατὰ τὰ αὐτὰ ἡμῖν τε καὶ τοῖς
fearless he-was not for according-to the same-things to-us both and to-the
Λατίνοις περὶ τῶν ἱερωμένων δέδοκται· ἀλλ᾽ ἡμεῖς μὲν
Latins about the ordained it-has-been-resolved but we indeed
ἐντετάλμεθα παρά τε τῶν κανόνων καὶ νόμων καὶ τοῦ
have-been-commanded by both the canons and laws and the
εὐαγγελικοῦ δόγματος "μὴ θίξῃς, μὴ γρύξῃς, μὴ ἅψῃ·
evangelical doctrine do-not touch do-not mutter do-not handle
ἱερώμενος γὰρ εἶ", ὁ δέ τοι βάρβαρος Λατῖνος ἅμα τε
ordained for you-are the and surely barbarian Latin at-once both
τὰ θεῖα μεταχειριεῖται καὶ τὴν ἀσπίδα ἐπὶ τοῦ λαιοῦ
the divine-things will-handle and the shield on the left
θέμενος καὶ τὸ δόρυ τῇ δεξιᾷ ἐναγκαλισάμενος ὁμοῦ τε
having-put and the spear in-the right having-grasped together both
μεταδίδωσι τοῦ θείου σώματός τε καὶ αἵματος καὶ φόνιον
imparts of-the divine body both and blood and murderous
ὁρᾷ καὶ αἱμάτων ἀνὴρ κατὰ τὸν Δαυιτικὸν ψαλμὸν
looks and of-bloods a-man according-to the Davidic psalm
γίνεται. οὕτως ἐστὶ τὸ βάρβαρον τοῦτο γένος οὐχ ἧττον
becomes thus is the barbarian this race not less
ἱερατικὸν ἢ φιλοπόλεμον. οὗτος τοίνυν ὁ ῥέκτης μᾶλλον
priestly than war-loving this-man therefore the doer rather
ἢ ἱερεὺς ὁμοῦ τε καὶ τὴν ἱερατικὴν στολὴν ἐνεδιδύσκετο
than priest together both and the priestly robe wore
καὶ τὴν κώπην μετεχειρίζετο καὶ πρὸς ναυτικὸν πόλεμον
and the oar handled and to naval war
καὶ μάχην ἀφώρα κατὰ ταὐτὸν καὶ θαλάττῃ καὶ ἀνδράσι
and battle looked at the-same-time both with-sea and with-men
μαχόμενος. τὰ γὰρ ἡμέτερα, καθάπερ ἔφθην εἰρηκυῖα, τῆς
fighting the for our-things as I-was-first having-said of-the

∗∗∗ Ἀαρὼν καὶ Μωσέως καὶ τοῦ καθ᾽ ἡμᾶς πρώτου
(lacuna) Aaron and Moses and of-the among us first
ἀρχιερέως ἐξήρτηται. ἀλλὰ τῆς μάχης ἐξ ἑσπέρας αὐτῆς
high-priest depend but the battle from evening itself
μέχρι μέσης τῆς ἐπιφαινούσης ἡμέρας καρτερᾶς γεγονυίας
until middle of-the appearing day strong having-become
ὑπείκουσι κἂν μὴ ἐβούλοντο οἱ Λατῖνοι τῷ Μαριανῷ
yield even-if not they-wished the Latins — to-Marianos
λόγον ἀπαθείας ἐξ αὐτοῦ αἰτησάμενοι καὶ τυχόντες. ὁ
word of-immunity from him having-asked and having-obtained the
δέ γε μαχιμώτατος ἱερεὺς ἐκεῖνος οὐδὲ τῶν εἰρηνικῶν
and at-least most-warlike priest that not-even the peaceful
σπονδῶν τελουμένων τῆς μάχης ἐπέπαυτο, ἀλλὰ τὸν
treaties being-completed from-the battle had-ceased but the
γωρυτὸν βελῶν ἐκκενώσας χερμάδα ἀναλαβόμενος λίθον
quiver of-missiles having-emptied a-hand-sized having-taken stone
πέμπει κατὰ τοῦ Μαριανοῦ, τοῦ δὲ τὴν κεφαλὴν διὰ
sends against — Marianos him and the head with
τῆς ἀσπίδος περιφράττοντος πλήξας τὴν ἀσπίδα διεῖλε
the shield fencing having-struck the shield divided
τετραχῆ καὶ τὴν κόρυθα κατέθραυσεν. ὁ δὲ Μαριανὸς
in-four and the helmet shattered — and Marianos
τῇ τοῦ λίθου βολῇ συγχυθεὶς ἀπολωλεκὼς τὸ φρονοῦν
by-the of-the stone throw confounded having-lost the thinking-part
τῆς ψυχῆς ἄναυδος παραχρῆμα ἐφ᾽ ἱκανὸν ἔκειτο, ὥσπερ
of-the soul speechless immediately for a-good-while lay like
ὁ Ἕκτωρ ἐκεῖνος ὑπὸ τῆς τοῦ λίθου βολῆς τοῦ Αἴαντος
— Hector that by the of-the stone throw — of-Ajax
μικροῦ δεῖν ἐψυχορράγει. μόλις δ᾽ ἀνενεγκὼν καὶ ἑαυτὸν
almost to-lack was-breathing-his-last hardly and having-recovered and himself
συναγαγὼν τρισσάκις τὸν παίσαντα ἔπληξε βέλεμνα
having-collected thrice the(-one) having-struck struck darts

κατ᾽ αὐτοῦ ἐπαφείς. ὁ δὲ πολέμαρχος ἐκεῖνος μᾶλλον
against him having-let-loose the and war-lord that rather
ἢ ἱερεὺς μηδέποτε μάχης κορεννύμενος, ἐπειδὴ καὶ τοὺς
than priest never of-battle being-sated since also the
λίθους ἅπαντας ἀπεπέμψατο τῶν χειρῶν καὶ ἁπλῶς ἦν
stones all he-had-sent-away from-the hands and simply he-was
καὶ λίθων κενὸς καὶ βελῶν, οὐκ ἔχων ὅ τι καὶ δράσειεν
both of-stones empty and of-missiles not having what — also he-might-do
οὐδὲ δι᾽ ὧν ἀμυνεῖται τὸν ἀντίπαλον, ἐσφάδαζε μὲν
nor through which he-will-ward-off the adversary was-quivering indeed
ἐνταῦθα καὶ ἐξεφλέγετο καὶ ἐμεμήνει καθάπερ θηρίον
here and was-inflamed and was-raging like a-beast
εἰς ἑαυτὸν συστρεφόμενος· τοῖς γοῦν παρατυχοῦσιν
into himself turning with-the at-any-rate present
αὐτίκα καὶ ἀποχρώμενος ἦν. σάκκον οὖν μάζης
at-once also using he-was a-sack then of-barley-cake
μεστὸν ἐφευράμενος ἐκεῖθεν ἀπὸ τοῦ σάκκου καθάπερ
full having-found from-there from the sack as-if
χερμάδας τὰς μάζας ἔβαλλεν, ὥσπερ ἱερατεύων καὶ
hand-stones the barley-cakes he-threw as-if officiating and
τελετήν τινα ποιούμενος καὶ ἱεροτελεστίαν τὸν πόλεμον
rite some making and sacred-ceremony the war
ἐργαζόμενος. μᾶζαν γοῦν τινα μίαν ἀναλαβόμενος καὶ
working barley-cake at-any-rate some one having-taken and
ὅλῃ χειρὶ πιθήσας ἐπαφίησι ταύτην κατὰ τῆς τοῦ
with-whole hand having-trusted lets-loose it against the —
Μαριανοῦ ὄψεως καὶ πλήττει τοῦτον κατὰ τῆς παρειᾶς.
of-Marianos face and strikes him on the cheek
ταῦτα μὲν οὖν τὰ κατὰ τὸν ἱερέα ἐκεῖνον καὶ
these(-things) indeed then the(-affairs) concerning the priest that and
τὴν ναῦν καὶ τοὺς ἐπιβάτας· ὁ δὲ κόμης Πρεβέντζας
the ship and the marines the and count of-Prebentza

πιστεύσας ἑαυτὸν σὺν αὐτῇ τῇ νηΐ καὶ τοῖς ὑπ᾽ αὐτὸν
having-entrusted himself with the-very the ship and those under him
προθύμως τῷ Μαριανῷ εἵπετο τοῦ λοιποῦ. ἐπεὶ δὲ
eagerly — Marianos followed for-the rest since and
κατὰ τὴν χέρσον γενόμενοι ἀπέβαινον τῆς νηός, πολλὰ
on the dry-land having-come they-disembarked from-the ship much
καὶ πολλάκις ὁ ἱερεὺς ἐκεῖνος ἐζήτει τὸν Μαριανὸν τὴν
and many-times the priest that sought — Marianos the
κλῆσιν μὲν αὐτοῦ μὴ γινώσκων, ἀπὸ δὲ τοῦ χρώματος
name indeed his not knowing from and the color
τῶν ἀμφίων τοῦτον ἀνακαλούμενος. προσελθὼν δὲ τούτῳ
of-the garments him calling having-come and to-him
περιχυθεὶς κατησπάζετο ἐγκαυχώμενος ἅμα ὡς "εἴ μοι
having-embraced kissed boasting at-once that if me
κατὰ τὴν χέρσον ἐντετυχήκατε, πολλοὶ ἂν ταῖς ἐμαῖς
on the dry-land you-had-met many — by-the my
χερσὶν ἀνῃρέθητε". ἐκβαλὼν δ᾽ ἐπιδίδωσι τούτῳ
hands would-have-been-killed having-taken-out and gives him
ἀργυροῦν θηρίκλειον τιμῆς στατήρων ἑκατὸν πρὸς τοῖς
silver Thericlean-cup of-value staters hundred besides the
τριάκοντα. ταῦτα δὲ ὁμιλῶν καὶ διδοὺς ἐξεπεπνεύκει.
thirty these(-things) and saying and giving breathed-his-last

LXII · GODFREY ON HOLY THURSDAY

Godfrey camps along the Propontis and delays, awaiting Bohemond. A false rumor that the counts have been seized sets his men attacking the walls on Holy Thursday. Alexios, unarmed on his throne, forbids killing on that day. The Caesar Nikephoros and his archers shoot to miss, until he kills one insolent Latin, and a sally from the Saint Romanos gate drives the Franks off with their horses shot. Hugh urges Godfrey to yield. Beaten again, Godfrey swears the oath and crosses to Pelekanos.

Ἀλλὰ καὶ ὁ κόμης Γοντοφρὲ τῷ τότε καιροῦ διαπεράσας
but also the count Godfrey at-the then of-the-time having-crossed
μεθ' ἑτέρων κομήτων καὶ στρατεύματος ἱππέων μὲν
with other counts and army of-horse indeed
χιλιάδων δέκα, πεζῶν δὲ χιλιάδων ἑβδομήκοντα καὶ
thousands ten of-foot and thousands seventy and
καταλαβὼν τὴν μεγαλόπολιν περὶ τὰ μέρη τῆς Προποντίδος
having-reached the great-city about the parts of-the Propontis
κατατίθησιν αὐτοῦ τὸ στράτευμα, διῆκον ἀπὸ τῆς ἔγγιστα
sets his the army extending from the nearest
τοῦ Κοσμιδίου διακειμένης γεφύρας μέχρι καὶ αὐτοῦ τοῦ
— of-Kosmidion lying bridge as-far-as even itself the
ἁγίου Φωκᾶ. παρακελευομένου δὲ αὐτῷ τοῦ βασιλέως τὸν
holy Phokas ordering and him the emperor the
τῆς Προποντίδος διαπερᾶσαι πορθμὸν ἡμέραν ἐξ ἡμέρας
of-the Propontis to-cross strait day from day
ὑπερτιθέμενος καὶ αἰτίαν αἰτίᾳ συνείρων ἀνεβάλλετο· τὸ
putting-off and cause to-cause stringing put-off the
δὲ πᾶν, τὴν τοῦ Βαϊμούντου καὶ τῶν λοιπῶν κομήτων
and whole the — of-Bohemond and the remaining counts
ἀνέμενεν ἄφιξιν. καὶ γὰρ ὁ μὲν Πέτρος ἐξ αὐτῆς ἀρχῆς
he-awaited arrival and for — indeed Peter from itself beginning
εἰς προσκύνησιν τοῦ ἁγίου τάφου τὴν τοσαύτην ὁδοιπορίαν
for veneration of-the holy tomb the so-great journey
ἀνεδέξατο, οἱ δέ γε λοιποὶ κόμητες καὶ τούτων μᾶλλον
undertook the and at-least remaining counts and of-these rather
ὁ Βαϊμοῦντος παλαιὰν μῆνιν κατὰ τοῦ αὐτοκράτορος
— Bohemond old wrath against the autocrat
τρέφοντες καὶ εὐκαιρίαν ζητοῦντες ἀντίποινα τούτῳ
nourishing and opportunity seeking requital to-him
παρασχεῖν τῆς λαμπρᾶς ἐκείνης νίκης, ἣν ἤρατο κατ'
to-provide of-the brilliant that victory which he-won over

αὐτοῦ, ὁπότε κατὰ τὴν Λάρισσαν τὸν μετ᾽ αὐτοῦ συνῆψε
him when at — Larissa the with him he-joined
πόλεμον, ὁμογνωμονήσαντες καὶ αὐτὴν τὴν μεγαλόπολιν
war having-agreed and itself the great-city
κατασχεῖν ὀνειρώττοντες εἰς τὴν αὐτὴν ἐληλύθεισαν γνώμην
to-seize dreaming to the same had-come mind
(καὶ τούτου πολλάκις ἐμνημονεύσαμεν ἄνωθεν), τῷ μὲν
and this often we-have-mentioned above in-the indeed
φαινομένῳ τὴν πρὸς τὰ Ἱεροσόλυμα ὁδοιπορίαν ποιούμενοι,
seeming the to the Jerusalem journey making
τῇ δ᾽ ἀληθείᾳ τὸν αὐτοκράτορα τῆς ἀρχῆς παραλῦσαι
in-the and truth the autocrat from-the rule to-remove
καὶ τὴν μεγαλόπολιν κατασχεῖν ἐθέλοντες. ἀλλ᾽ ὁ βασιλεὺς
and the great-city to-seize wishing but the emperor
τὸ πανοῦργον αὐτῶν πάλαι γινώσκων τὰς τῶν ἐθνικῶν
the knavery their long-ago knowing the of-the foreigners
δυνάμεις σὺν αὐτοῖς ἡγεμόσι διὰ γραφῶν παρεκελεύσατο
forces with the-very leaders through letters ordered
ἀπὸ τοῦ Ἀθύρα μέχρις αὐτοῦ Φιλέα ἰλαδὸν καταστῆναι
from — Athyras as-far-as itself Phileas by-squadrons to-be-set
(τόπος δὲ παράλιος οὗτος τοῦ Πόντου) καὶ ἐφεδρεύειν, εἴ
place and coastal this of-the Pontus and to-lie-in-wait if
πού τις τοῦ Γοντοφρὲ πρὸς τὸν Βαϊμοῦντον καὶ τοὺς
somewhere anyone — of-Godfrey to — Bohemond and the
ὄπισθεν ἐρχομένους κόμητας ἀποστέλλοιτο ἢ ἐξ ἐκείνων
behind coming counts should-be-sent or from those
αὖθις πρὸς αὐτόν, καὶ ἀπείργειν αὐτῶν τὴν δίοδον. ἐν
again to him and to-prevent their the passage in
τῷ μεταξὺ δὲ γίνεταί τι τοιοῦτον. μεταπεμψαμένου
the meantime and happens something such having-summoned
γὰρ τοῦ βασιλέως τινὰς τῶν μετὰ τοῦ Γοντοφρὲ
for the emperor some of-the with — Godfrey

κομήτων ἐφ᾽ ᾧ τούτοις συμβουλεύσασθαι ὑποθέσθαι αὐτῷ
counts for which to-them to-advise to-suggest to-him
πληρῶσαι τὸν ὅρκον τριβομένου τε τοῦ καιροῦ διὰ
to-fulfill the oath being-spent and the time because-of
τὸ φύσει λάλον τε καὶ μακρηγορώτατον τῶν Λατίνων
the by-nature talkative both and most-long-winded of-the Latins
ψευδὴς διέδραμεν εἰς αὐτοὺς φήμη κατασχεθῆναι τοὺς
false ran to them rumor to-have-been-seized the
κόμητας παρὰ τοῦ βασιλέως. εὐθὺς οὖν πυκιναὶ κατὰ
counts by the emperor at-once then thick against
τῆς Βυζαντίδος κεκίνηντο φάλαγγες καὶ παραχρῆμα τὰ
— Byzantis had-been-moved phalanxes and immediately the
κατὰ τὴν Ἀργυρᾶν καλουμένην Λίμνην διακείμενα παλάτια
by the Silver called Lake lying palaces
παντελῶς ἐξηρίπωσαν, ἅμα δὲ καὶ τῶν τειχῶν τῆς
entirely they-demolished at-the-same-time and also the walls —
Βυζαντίδος ἀπεπειρῶντο κἂν μὴ δι᾽ ἑλεπόλεων, οὐ γὰρ
of-Byzantis they-tried even-if not with siege-engines not for
παρῆσαν, ἀλλὰ τῷ ἑαυτῶν πλήθει θαρροῦντες τοσοῦτον
were-present but in-the own multitude trusting so-much
κατηναιδεύσαντο, ὡς καὶ πῦρ τολμῆσαι ἐπαφεῖναι κατὰ
they-became-shameless that even fire to-dare to-let-loose against
τῆς κάτωθεν τῶν ἀνακτόρων πύλης ἀγχοῦ τοῦ ἐπ᾽
the below of-the palace gate near the in
ὀνόματι τοῦ ἐν ἱεράρχαις μεγίστου Νικολάου πάλαι
name of-the among hierarchs greatest Nicholas long-ago
παρά του τῶν βασιλέων ἀνοικοδομηθέντος τεμένους. οὐ
by one of-the emperors built precinct not
μόνον δὲ ὁπόσοι τοῦ συρφετώδους ὄχλου τῶν Βυζαντίων
only and as-many-as of-the rabble crowd of-the Byzantines
καὶ ἀνάλκιδες πάντη καὶ ἀπειροπόλεμοι τὰς τῶν Λατίνων
and feeble wholly and inexperienced-in-war the of-the Latins

φάλαγγας θεασάμενοι ἔστενον ᾤμωζον ἐστερνοτύπουν μὴ
phalanxes having-beheld groaned wailed beat-their-breasts not
ἔχοντες ὑπὸ φόβου, ὅ τι καὶ δράσαιεν, ἀλλὰ καὶ μᾶλλον
having from fear what — also they-might-do but also rather
ὁπόσοι εὖνοι περὶ τὸν αὐτοκράτορα, τὴν πέμπτην ἐκείνην
as-many-as loyal about the autocrat the Thursday that
φανταζόμενοι, καθ' ἣν ἡ τῆς πόλεως γέγονεν ἅλωσις,
imagining on which the of-the city happened capture
καὶ δεδιότες διὰ τοῦτο τὴν ἐνισταμένην ἡμέραν, μή τις
and fearing because-of this the present day lest some
ἔκτισις τῶν τότε γεγενημένων συμβαίη. πάντες δέ,
payment of-the(-things) then having-happened should-befall all and
ὅσοι στρατιωτικῆς εἰδήμονες ἦσαν, ἀσυντάκτως πρὸς
as-many-as of-military skilled were in-disorder to
τὰ βασίλεια συνέρρεον. ὁ δὲ βασιλεὺς ὡπλίσατο μὲν
the palace flowed-together the and emperor armed indeed
οὐδαμῶς οὐδὲ φολιδωτὸν περιεβάλετο θώρακα οὐδὲ σάκος
in-no-way nor scaled put-on breastplate nor shield
οὐδ' ἔγχος ἐνηγκαλίσατο οὐδὲ ξίφος περιεζώσατο, ἀλλ'
nor spear grasped nor sword girded-on but
ἑδραίως ἐπὶ τοῦ βασιλικοῦ ἐσταλμένος καθῆστο θρόνου καὶ
steadily on the imperial attired sat throne and
μεθ' ἱλαροῦ βλέμματος πάντας θαρρύνων καὶ θάρσος ἐνιεὶς
with cheerful look all encouraging and boldness putting-in
ταῖς σφῶν ψυχαῖς καὶ τοῖς συγγενέσι δὲ καὶ ἡγεμόσι
the their souls and with-the kinsmen and also leaders
τοῦ στρατοῦ περὶ τῶν μελλόντων συμβουλευόμενος. τὰ
of-the army about the future-things taking-counsel the
μὲν οὖν πρῶτα οὐδ' ὁντιναοῦν κατὰ τῶν Λατίνων
indeed then first not-even anyone against the Latins
τοῦ τείχους ἐξενεγκεῖν προτεθύμητο, τὸ μὲν διὰ τὴν
from-the wall to-bring-out he-had-been-eager partly indeed because-of the

ἐνισταμένην ἐκείνην σεβασμίαν τῶν ἡμερῶν (πέμπτη γὰρ
present that venerable(-one) of-the days Thursday for
ἦν τῆς μεγίστης καὶ ἁγίας τῶν ἑβδομάδων, ἐν ᾗ ὁ
it-was of-the greatest and holy of-the weeks in which the
σωτὴρ τὸν ἐπονείδιστον ὑπὲρ ἁπάντων ὑπέστη θάνατον),
savior the shameful for all underwent death
τὸ δὲ καὶ τὸν ἐμφύλιον παρεκκλίνων φόνον. πολλάκις
partly and also the civil avoiding slaughter often
οὖν μεταπεμψάμενος συνεβούλευε τοῦ τοιούτου ἀπέχεσθαι
then having-summoned he-advised from-the such to-abstain
ἔργου "αἰδέσθητε" λέγων "τὸν ὑπὲρ πάντων ἡμῶν τὴν
deed respect saying the for all of-us the
τήμερον σφαγέντα θεὸν μηδὲ σταυρὸν καὶ ἥλους καὶ
today slaughtered God not-even cross and nails and
λόγχην τὰ κακούργοις προσήκοντα τῆς ἡμῶν ἕνεκα
lance the(-things) for-criminals fitting the our for-the-sake
παραιτησάμενον σωτηρίας. εἰ δὲ μάχης ὑμῖν ἔφεσίς ἐστι,
refused salvation if and of-battle to-you desire is
μετὰ τὴν ἀναστάσιμον τοῦ σωτῆρος ἡμέραν καὶ ἡμεῖς
after the of-the-resurrection of-the savior day also we
ἕτοιμοι παρεσόμεθα." οἱ δὲ οὐ μόνον οὐχ ὑπείκοντο, ἀλλὰ
ready will-be-present they and not only not yielded but
καὶ κατεπύκνουν μᾶλλον τὰς φάλαγγας συχνὰς τὰς βολὰς
also made-dense rather the phalanxes frequent the shots
πέμποντες, ὡς καί τινα τῶν ἀγχοῦ τοῦ βασιλικοῦ θρόνου
sending so-that even some of-those near the imperial throne
ἱσταμένων κατὰ τὸ στέρνον πλῆξαι. ὅπερ οἱ πλείονες
standing in the chest to-strike which the most
τῶν ἐφ' ἑκάτερα παρισταμένων τοῦ βασιλέως θεασάμενοι
of-those on both-sides standing-by of-the emperor having-beheld
ἀνεχώρουν· ὁ δὲ ἀτρέμας ἐκάθητο ἀνακτώμενος τούτους
withdrew he and unmoved sat rallying them

καὶ πρᾴως πως νεμεσῶν· ὃ καὶ θάμβος πᾶσι παρεῖχεν.
and gently somehow rebuking which also amazement to-all provided
ἐπεὶ δ' ἀναισχύντως τοὺς Λατίνους τοῖς τείχεσι πελάζοντας
since and shamelessly the Latins the walls approaching
ἑώρα καὶ τὸ συμφέρον βουλευομένῳ μὴ ὑπείκοντας,
he-saw and the advantageous to-one-counseling not yielding
τὰ μὲν πρῶτα μεταπεμψάμενος τὸν γαμβρὸν αὐτοῦ
the(-things) indeed first having-summoned the son-in-law his
Νικηφόρον τὸν ἐμὸν Καίσαρα παρεκελεύσατο ἄνδρας
Nikephoros the my Caesar ordered men
πολεμικωτάτους ἀναλαβόμενον καὶ τοξείας εἰδήμονας τοῦ
most-warlike having-taken and of-archery skilled the
τείχους ἄνωθεν καταστῆσαι παρεγγυησάμενος συχνοὺς μὲν
wall above to-set having-charged frequent indeed
ὀϊστοὺς κατὰ τῶν Λατίνων πέμπειν, μὴ κατὰ σκοποῦ
arrows against the Latins to-send not at mark
δέ, ἀλλὰ διαμαρτάνειν τὰ πλείω, ὡς μόνον ἐκφοβεῖν
and but to-miss the most so-that only to-frighten
τῇ πυκνότητι τῶν βελῶν, ἀναιρεῖν δὲ μηδαμῶς. ἐδεδίει
by-the thickness of-the missiles to-kill and in-no-way he-feared
γάρ, ὡς ἄνωθεν εἴρηται, τὸ τῆς ἡμέρας σεβάσμιον
for as above has-been-said the of-the day reverence
καὶ τὸν ἐμφύλιον φόνον οὐκ ἤθελεν. ἑτέρους δὲ τῶν
and the civil slaughter not he-wished others and of-the
ἐκκρίτων τοὺς πλείους μὲν τόξα φέροντας, τοὺς δὲ
picked the most indeed bows carrying the and
ἔγχεα μακρὰ ἐναγκαλισαμένους τὴν κατὰ τὸν ἅγιον
spears long having-couched the at the holy
Ῥωμανὸν πύλην ἀναπετάσαντας σφοδρὰν ἐνδείξασθαι κατ'
Romanos gate having-thrown-open violent to-show against
αὐτῶν τὴν ὁρμὴν ἐκέλευε τοιαύτην καταστησαμένους τὴν
them the onset ordered such having-set the

παράταξιν, ∗∗∗ ἕκαστον τῶν τὰ δόρατα φερόντων
battle-line (lacuna) each of-those the spears carrying
ἐξ ἑκατέρου μέρους ὑπὸ δύο φυλάττεσθαι πελταστῶν·
from each side by two to-be-guarded peltasts
οὕτω δὲ ἑαυτοὺς καταστήσαντας αὐτοὺς μὲν βραδεῖ ποδὶ
thus and themselves having-set they indeed with-slow foot
στείχειν, ὀλίγους δέ τινας τῆς τοξείας εἰδήμονας κατὰ
to-step few and some of-the archery skilled against
τῶν Κελτῶν προεκπέμπειν πόρρωθεν μὲν τοὺς ὀϊστοὺς
the Celts to-send-ahead from-afar indeed the arrows
βάλλοντας καὶ ἐφ᾽ ἑκάτερα πυκνὰ περιστρεφομένους,
shooting and to both-sides thick turning
ἐπὰν δὲ τὸ μεσαίχμιον ἀποστενωθὲν θεάσοιντο, τηνικαῦτα
when and the no-man's-land narrowed they-should-see then
τοῖς συνεφεπομένοις αὐτοῖς τοξόταις παρακελευσαμένους
to-the following them archers having-ordered
πυκνοὺς ἐκπέμψαι τοὺς ὀϊστοὺς κατὰ τῶν ἵππων, οὐ
thick to-send the arrows against the horses not
τῶν ἐποχουμένων, ὅλας ἡνίας κατὰ τῶν Λατίνων λῦσαι,
the riders whole reins against the Latins to-loose
τὸ μὲν ἵνα τῶν ἵππων πληττομένων ἀποπαύηται τὸ
partly indeed that the horses being-struck might-be-stopped the
πολὺ τῆς ὁρμῆς τῶν Κελτῶν καὶ μὴ ῥαδίως κατὰ τῶν
much of-the onset of-the Celts and not easily against the
Ῥωμαίων ἱππάζωνται, τὸ δέ τι, ὃ καὶ μᾶλλον, ἵνα
Romans might-ride partly and somewhat what also rather that
μὴ Χριστιανοὶ κτείνωνται. ἐκθύμως τοίνυν τὸ βασιλικὸν
not Christians be-killed passionately therefore the imperial
ἀπεπλήρουν πρόσταγμα καὶ τὰς πύλας ἀναπετάσαντες
they-fulfilled order and the gates having-thrown-open
καὶ ποτὲ μὲν τοὺς ῥυτῆρας κατ᾽ αὐτῶν ἐνδιδόντες, ποτὲ
and at-times indeed the reins against them giving at-times

δὲ τοὺς ἵππους ἀνασειράζοντες κτείνουσι μὲν πολλούς,
and the horses reining-in kill indeed many
ὀλίγοι δ' ἐξ αὐτῶν κατὰ ταυτηνὶ τὴν ἡμέραν ἐτρώθησαν.
few and of them on this-here the day were-wounded
